103. Γιὰ τὴ χρησιμοποίηση ἀπὸ τὸν Ἀρχιμήδη τῶν ἀρχῶν τοῦ διαφορικοῦ καὶ ὁλοκληρωτικοῦ Λογισμοῦ βλ. H. G. Zeuthen, Die Lehre von den Kegelschnitten im Altertum, ed. Fischer-Benzon, Kopenhagen 1886, repr. Hildesheim 1996, σελ. 440-451. Smith, Hist. Math., τόμ. II, σελ. 684. Ὁ Ἀρχιμήδης εἶχε εἰσαγάγει καὶ χρησιμοποιοῦσε τὰ ἀθροίσματα, ὅπως στοὺς νεωτέρους χρόνους ὁ Riemann, καὶ εἶχε βρεῖ μέθοδο ἀναγωγῆς τῶν προβλημάτων μεγίστου καὶ ἐλαχίστου σὲ προβλήματα ἐφαπτομένων. Βλ. I. G. Bachmakova, «Οἱ μέθοδοι διαφόρισης τοῦ Ἀρχιμήδη», AHES, N2, 1964, τόμ. II, σελ. 87-107.

104. Ἀκαδ. Ἐγκυκλ. Ἀκαδ. Ἐπιστημῶν τῆς ΕΣΣΔ, ἐκδ. Γιαννίκος, Ἀθήνα 1975-76, τόμ. II, «Διάσημοι μαθηματικοί», σελ. 478.

105. Smith, Hist. Math., τόμ. II, σελ. 294.

106. Βλ. M. Clagett, «Oresme Nicole», DSB, τόμ. X, σελ. 223-230. Ἀργότερα (1609) ὁ Κέπλερ ἔφθασε σὲ κάποιο χονδροειδὲς εἶδος ὁλοκλήρωσης, καὶ θεώρησε ὅτι κάθε στερεὸ ἀποτελεῖται ἀπὸ ἕνα ἀπεριόριστο πλῆθος κώνων ἢ λεπτῶν δίσκων, ἡ ἄθροιση τῶν ὁποίων ἔγινε τὸ πρόβλημα τῆς μετέπειτα ὁλοκλήρωσης. Βλ. Smith, Hist. Math., τόμ. II, σελ. 684. V. M. Tikhomirov, Ἱστορίες γιὰ μέγιστα καὶ ἐλάχιστα, ἐκδ. Κάτοπτρο, Ἀθήνα 1999, σελ. 52-67. Struik, Hist. Math., σελ. 128.

μεγίστων καὶ ἐλαχίστων τιμῶν (Πλάτη καὶ μήκη γεωγραφικὰ) κατόρθωσε νὰ ὑπολογίσει ἐμβαδὰ περιοχῶν οἱ ὁποῖες βρίσκονταν ἀνάμεσα σὲ καμπύλες καὶ εὐθεῖες.



Βέβαια στὸ χειρόγραφο ἔχει ὑπολογισθεῖ ὁ μέσος ὅρος τῶν περιμέτρων τῶν κύκλων μὲ ἀκτίνες 5/π καὶ 11/π. Ἀλλὰ καὶ μὲ τὴν πρακτικὴ μέθοδο γιὰ τὴν εὕρεση τέτοιου εἴδους ὄγκων Ο, τὴν ὁποία διαθέτουμε σήμερα [107], ἰσχύει ὅτι

$O = (H/6)(S_o + 4S_1 + S_2)$, ὅπου

$H =$ ἡ ἀπόσταση τῆς κάτω καὶ ἄνω τομῆς,

$S_0 =$ τὸ ἐμβαδὸν τῆς κάτω τομῆς,

$S_1 =$ τὸ ἐμβαδὸν τῆς μέσης τομῆς, καὶ

$S_2 =$ τὸ ἐμβαδὸν τῆς ἄνω τομῆς. Ἑπομένως ἔχουμε

$O = (10/6)(50/\pi + 484/\pi) = 890/\pi \ = 283{,}4 > 204$

Ἂν ὁ συγγραφέας εἶχε ἐπιρρεασθεῖ ἀπὸ τὸν Ἥρωνα τὸν Ἀλεξανδρέα, θὰ ἀκολουθοῦσε τὴν ἑξῆς πορεία[108]:

107. Ἀκαδ. Ἐγκυκλοπαίδεια, Ἀκαδ. Ἐπιστημῶν ΕΣΣΔ, ἐκδ. Γιαννίκος, Ἀθήνα 1975-76, τόμ. ΙΙ, «Ὁλοκλήρωμα καὶ παράγωγος», σελ. 366.
108. 108 Heron Stereom., τόμ. V, σελ. 102.

Θὰ ὕψωνε τὶς διαμέτρους τοῦ μεγίστου καὶ ἐλαχίστου κύκλου στὸ τετράγωνο, τὶς ὁποῖες κατόπιν θὰ προσέθετε, ὁπότε θὰ εἶχε:

$(100/\pi^2) + (484/\pi^2) = 584/\pi^2$.

Στὴ συνέχεια θὰ ἐκτελοῦσε τὶς ἑξῆς πράξεις:

$(10/\pi)(22/\pi) = 220/\pi^2$

$(584 + 220)/\pi^2 = 804/\pi^2$

$(804/\pi^2)/3 = 268/\pi^2$

$(268/\pi^2)5 = 1340/\pi^2$

$(1340/\pi^2)2 = 2680/\pi^2 = 2680/(22/7)^2 = 271{,}3$.

Παρατηροῦμε, ὅτι ἡ τιμὴ αὐτὴ συγκρινόμενη μὲ τὴν τιμὴ 204 τοῦ χειρογράφου μας εἶναι πολὺ πλησιέστερη τῆς σημερινῆς. Ἀναρωτιόμαστε λοιπόν, μήπως ἡ μεθοδος τοῦ συγγραφέα μας ἀποσκοποῦσε στὸ κέρδος τῶν ἐμπόρων, ὡς μεσαζόντων μεταξὺ παραγωγῶν καὶ καταναλωτῶν.

ΑΝΑΛΥΤΙΚΗ ΠΑΡΟΥΣΙΑΣΗ ΤΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ ΤΗΣ ΙΓ ΕΝΟΤΗΤΑΣ

κεφ. 227. (σκζ). Κάλυψη ἐπιφανείας στύλου σχήματος ὀρθογωνίου παραλληλεπιπέδου μὲ διαστάσεις 3 1/2, 3 1/2, 9, μὲ μάρμαρα σχήματος ὀρθογωνίου παραλληλογράμμου διαστάσεων 1/2, 1/4.

Μέθοδος ἡ ὁποία χρησιμοποιεῖται καὶ σήμερα καὶ βασίζεται στὸν τρόπο ὑπολογισμοῦ τοῦ ἐμβαδοῦ τῆς παράπλευρης ἐπιφάνειας ὀρθογωνίου παραλληλεπιπέδου.

κεφ. 228. (σκη). Παρόμοιο πρόβλημα σχετικὸ μὲ ὄγκους ὀρθογωνίων παραλληλεπιπέδων.

κεφ. 229. (σκθ). Ὑπολογισμὸς ἐμβαδοῦ ὑφάσματος πλάτους 2 σπιθαμῶν, τὸ ὁποῖο καλύπτει σφαιρικὴ ἐπιφάνεια περιμέτρου 22 σπιθαμῶν.

Στὸ χειρόγραφο, οἱ πράξεις οἱ ὁποῖες παρουσιάζονται εἶναι οἱ ἑξῆς: (154/7)/(22/7)= 7 ἡ διάμετρος, 22.7= 154, ὁπότε ἡ ἐπιφάνεια τῆς σφαίρας εἶναι 154 τετρ. σπιθαμές. Διαιρεῖ καὶ μὲ τὸ πλάτος τὸ ὁποῖο εἶναι ἴσο μὲ 2 καὶ ἔχει: 154/2= 77 τὸ ζητούμενο μῆκος.

Σήμερα θὰ ἀκολουθούσαμε τὴν ἑξῆς διαδικασία:

2πρ= 22, ἄρα ἡ ἀκτίνα ρ τῆς σφαίρας εἶναι ἴση μὲ 11/π, ὁπότε τὸ ἐμβαδὸν τῆς ἐπιφανείας τῆς σφαίρας θὰ εἶναι ἴσο μὲ $4.\pi.11^2/\pi^2 = 484/\pi$. Τὸ δὲ ἐμβαδὸν τοῦ χρησιμοποιουμένου ὑφάσματος θὰ εἶναι: 2.μ= 484/π, καὶ συνεπῶς τὸ μῆκος μ τοῦ ὑφάσματος εἶναι ἴσο μὲ 242/π σπιθαμές.

κεφ. 230. (σλ). Ὑπολογισμὸς ἐμβαδοῦ παράπλευρης ἐπιφάνειας κωνικῆς σκηνῆς ὕψους 40 σπιθαμῶν καὶ παράπλευρης ἀκμῆς 50 σπιθαμῶν, ὅταν τὸ ὕφασμα τὸ ὁποῖο καλύπτει τὴν παράπλευρη ἐπιφάνεια ἔχη πλάτος 3 σπιθαμές.

Ὁ συγγραφέας χρησιμοποιώντας τὸ Πυθαγόρειο θεώρημα βρίσκει τὴν ἀκτίνα τῆς βάσης ἴση μὲ 30. Γιὰ τὸν ὑπολογισμὸ τῆς περιμέτρου τῆς βάσης ἀκολουθεῖ τὴν ἑξῆς διαδικασία:

$3.60 + 60/7 =$ 188 4/7.

Κατόπιν χρησιμοποιεῖ τὴν ἑξῆς ἐνδιαφέρουσα διατύπωση: «Τὸ κάτω μέρος τῆς σκηνῆς ἔχει περίμετρο 188 4/7 σπιθαμές, τὸ δὲ ἄνω ἔχει περίμετρο ἴση μὲ τὸ μηδέν, συνεπῶς τὸ ἐξ' ἀναλόγου εἶναι $(188\ 4/7)/2 =$ 94 2/7». Ἀκολούθως πολλαπλασιάζει τὸ 94 2/7 μὲ τὸ 50 καὶ βρίσκει ὅτι τὸ ἐμβαδὸν τῆς παράπλευρης ἐπιφάνειας εἶναι 4715 2/7 τετραγωνικές σπιθαμές, καὶ ὄχι 4714 2/7.

Διαπιστώνουμε ὅτι ἔχει κατ' οὐσίαν χρησιμοποιήσει τὸν τύπο τὸν ὁποῖο χρησιμοποιοῦμε καὶ σήμερα γιὰ νὰ ὑπολογίσουμε τὸ ἐμβαδὸν αὐτό, καὶ σύμφωνα μὲ τὸν ὁποῖο ἰσχύει πὼς τὸ συγκεκριμένο ἐμβαδὸν εἶναι ἴσο μὲ τὴν ἡμιπερίμετρο τῆς βάσεως ἐπὶ τὴν παράπλευρη ἀκμή.

Τέλος γιὰ νὰ ὑπολογίσει τὸ συνολικὸ ὕφασμα τὸ ὁποῖο θὰ χρειασθεῖ, διαιρεῖ τὸ 4715 2/7 μὲ τὸ 3.

Στὸ ἴδιο αὐτὸ κεφάλαιο ἐπιλύονται μὲ τὴν ἴδια μεθοδολογία καὶ ἄλλα παρεμφερῆ θέματα.

κεφ. 231. (σλα). Ὑπολογισμὸς «μοδίων»[109], τὰ ὁποῖα δέχεται ἕνας κυλινδρικὸς σάκκος, ὅταν αὐτὸς ἔχει προκύψει ἀπὸ δύο ἄλλους κυλινδρικοὺς σάκκους ἰδίου ὕψους, καὶ μοδίων 6 καὶ 4 ἀντιστοίχως.

---

109. Τὸ 1 μοδίον ἢ ὁ μόδιος εἶναι μέτρο ξηρῶν καρπῶν, τὸ ὁποῖο ἰσοδυναμεῖ πρὸς 1/6 τοῦ μεδίμνου (κοιλοῦ), ἢ πρὸς 1/8 τοῦ ἀμφορέως, δηλαδὴ πρὸς 8,75 λίτρες, ἢ κυμαινομένου μεταξὺ 20-22 ὀκάδων. Ὅταν δὲ πρόκειται γιὰ καρπὸ ἐληᾶς ἰσοδυναμεῖ πρὸς 500 ὀκάδες. Βλ. Σταματάκου Ι., Λεξικὸν τῆς Νέας Ἑλληνικῆς γλώσσης, Ἐκδ. Φοῖνιξ, Ἀθῆναι 1971, Τόμ. ΙΙ, σελ. 1960.

Κατὰ τὴν ἐπίλυση αὐτοῦ τοῦ προβλήματος ξεκαθαρίζεται τί ἀκριβῶς ἐννοεῖ ὁ συγγραφέας μὲ τὴν ἀσαφῆ ἔκφραση ¨ἔχει προκύψει¨, καὶ διαπιστώνουμε, ὅτι πρόκειται γιὰ ἕναν καινούργιο σάκκο, ὁ ὁποῖος ἔχει παράπλευρη ἐπιφάνεια ἴση μὲ τὸ ἄθροισμα τῶν παραπλεύρων ἐπιφανειῶν τῶν δύο ἄλλων. Ἐπίσης ἐκεῖνο τὸ ὁποῖο πρέπει νὰ τονισθεῖ εἶναι τὸ ὅτι ζητεῖ τὸν ὄγκο τοῦ νέου σάκκου.

Ἡ συνοπτικὴ περιγραφὴ τῆς μεθόδου τοῦ συγγραφέα ἔχει ὡς ἑξῆς:

$6.6 = 36$, $4.4 = 16$, $36 + 16 = 52$, $(6 + 4).(6 + 4) = 10.10 = 100$. Σὲ αὐτὸ τὸ σημεῖο χρησιμοποιεῖ τὴν ἔκφραση: «Ἐὰν τὰ 10 δέχωνται 52, τὰ 100 πόσα δέχονται;» Καὶ συνεχίζει μὲ τὶς ἑξῆς πράξεις:

$100.10 = 1000$, $1000/52 = 19\ 3/13$.

Σήμερα τὸ συγκεκριμένο πρόβλημα θὰ ἀντιμετωπιζόταν ὡς ἑξῆς:

Συμβολίζουμε μὲ O_1, O_2, O_3, τοὺς ὄγκους τῶν σάκκων τῶν 6, τῶν 4, καὶ τῶν ζητουμένων μοδίων ἀντιστοίχως. Ἐπίσης συμβολίζουμε μὲ ρ_1, ρ_2, ρ_3 τὶς ἀντίστοιχες ἀκτίνες αὐτῶν. Τότε θὰ ἰσχύουν οἱ ἰσότητες:

$O_1 = \pi.\rho_1^2.\upsilon$, $O_2 = \pi.\ \rho_2^2.\upsilon$, $O_3 = \pi.\rho_3^2.\upsilon$.

Ἐπιπλέον θὰ ἰσχύει ἡ σχέση:

$2.\pi.\ \rho_1.\upsilon + 2.\pi.\ \rho_2.\upsilon = 2.\pi.\ \rho_3.\upsilon$, ἀπὸ τὴν ὁποία προκύπτει

$\rho_1 + \rho_2 = \rho_3$, ὁπότε

$O_3 = \pi.(\rho_1 + \rho_2)^2.\upsilon = \pi.\ \rho_1^2.\upsilon + \pi.\ \rho_2^2.\upsilon + 2.\pi.\ \rho_1.\ \rho_2.\upsilon = 10 + 2.\pi.\ \rho_1.\ \rho_2.\upsilon$.

Ἀλλὰ $\rho_1^2\ .\ \rho_2^2 = 24/(\pi^2.\upsilon^2)$, ὁπότε
$\rho_1.\rho_2 = (2.\sqrt{6})/(\pi.\upsilon)$, καὶ $O_3 = 10 + 2.\pi.\upsilon.(2.\sqrt{6})/(\pi.\upsilon) = 10 + 4\sqrt{6}$.

Ἀκολουθεῖ τὸ ἀντίστροφο πρόβλημα, ὅπου ζητεῖται ὁ ὑπολογισμὸς τῶν μοδίων, τὰ ὁποῖα δέχονται δύο ἴδιοι σάκκοι ὅταν αὐτοὶ προέρχονται ἀπὸ ἕναν σάκκο τοῦ ἰδίου ὕψους, ὁ ὁποῖος δέχεται 20 μοδία.

Κατὰ τὴν ἐπίλυση τοῦ ἀνωτέρω προβλήματος γίνονται οἱ ἑξῆς πράξεις: 20/2 = 10, 10.10 = 100, 100/20 = 5.

Ἡ σημερινὴ διαδικασία θὰ περιελάμβανε τὰ ἑξῆς βήματα:

$2.\pi.\rho_3.\upsilon = 2.\pi.\rho_1.\upsilon + 2.\pi.\rho_2.\upsilon$, ὁπότε

$\rho_1 = \rho_3/2$. Ἀλλὰ

$\pi.\rho_3^2.\upsilon = 20$, συνεπῶς

$\pi.\rho_1^2.\upsilon = (\pi.\rho_3^2.\upsilon)/4 = 20/4 = 5$.

κεφ. 232. (σλβ). Ὑπολογισμὸς ὕψους σιτοδόχου οἴκου ὅταν δίδονται τὸ μῆκος 9 οὐργίες, τὸ πλάτος 3 οὐργίες καὶ τὰ μοδία τὰ ὁποῖα δέχεται εἶναι 1458.

Ὁ συγγραφέας ὑποθέτει ὅτι κάθε τετράγωνη οὐργία δέχεται 12 μοδία καὶ ἐκτελεῖ τὶς ἑξῆς πράξεις:

1458/12 = 121 1/2 τετρ. οὐργίες, 9.3 = 27, (121 1/2)/27 = 4 1/2 = υ.

Σήμερα χρησιμοποιώντας τὸν τύπο τοῦ ὄγκου ὀρθογωνίου παραλληλεπιπέδου θὰ γράφαμε τὰ ἑξῆς:

$O = \mu.\pi.\upsilon$, ὁπότε $1458 = 9.3.\upsilon$, καὶ $1458/12 = 9.3.\upsilon$, συνεπῶς $\upsilon = 4\ 1/2$.

Κατόπιν ζητεῖται νὰ ὑπολογισθεῖ σὲ μέτρα τὸ ὕψος ὕδατος τὸ ὁποῖο περιέχεται σὲ πηγάδι μήκους 8 οὐργίων, πλάτους 3 οὐργίων, καὶ βάθους 2 1/2 οὐργίων, ὅταν ἡ κάθε μία «τετράγωνος» οὐργία δέχεται 100 μέτρα.

Ὅταν ὁ συγγραφέας χρησιμοποιεῖ τὴν ἔκφραση «τετράγωνος οὐργία» ἐννοεῖ ὅπως φαίνεται, μονάδα μετρήσεως ὄγκου ὀρθογωνίου παραλληλεπιπέδου, ἀφοῦ σὲ αὐτὸ τὸ σημεῖο τὴν ὁρίζει ὡς ἔχουσα μῆκος πλάτος καὶ ὕψος.

Οἱ πράξεις οἱ ὁποῖες γίνονται εἶναι οἱ ἑξῆς:

8.3.(2 1/2) = 60 τετρ. οὐργίες, 60.100 = 6000, ὁπότε ὁ συγγραφέας παραπέμπει στὸ προηγούμενο πρόβλημα μὲ δεδομένα: Μῆκος ἴσο μὲ 8 οὐργίες, πλάτος ἴσο μὲ 3, καὶ τὰ μέτρα τὰ ὁποῖα δέχεται ὁ σάκκος εἶναι 6000.

κεφ. 233. (σλγ). Ὑπολογισμὸς ποσότητος ὕδατος τὸ ὁποῖο χύνεται ἀπὸ δεξαμενὴ σχήματος ὀρθογωνίου παραλληλεπιπέδου, ὅταν τοποθετηθεῖ ἐντὸς αὐτῆς μία κυλινδρικὴ κολώνα.

Δίδονται τὸ μῆκος καὶ τὸ πλάτος τῆς δεξαμενῆς ἴσα μὲ 3 οὐργίες, καὶ τὸ ὕψος της ἴσο μὲ 16 οὐργίες. Ἐπίσης δίδεται ἡ διάμετρος τῆς κολώνας ἴση μὲ 2 οὐργίες καὶ τὸ ὕψος της ἴσο μὲ 14 οὐργίες.

Ὑπολογίζεται ὁ ὄγκος τῆς δεξαμενῆς ὁ ὁποῖος εἶναι ἴσος μὲ $3.3.16 = 144$ τετρ. οὐργίες, καὶ κατόπιν ἀναφέρεται, πῶς πρέπει νὰ τετραγωνίσουμε τὸν κίονα ὅπως μάθαμε νὰ τετραγωνίζουμε τὸν κύκλο, δηλαδή: $2.2 = 4$, $(11/14).4 = 3\ 1/7$, $(3\ 1/7).14 = 44$ τετρ. οὐργίες.

Παρατηροῦμε ὅτι οἱ τελευταῖοι ὑπολογισμοὶ σχετίζονται μὲ τὸν ὑπολογισμὸ τοῦ ὄγκου κυλίνδρου ὁ ὁποῖος εἶναι ἴσος μὲ τὸ ἐμβαδὸν τῆς βάσεώς του ἐπὶ τὸ ὕψος αὐτοῦ, δηλαδή:

$O = \pi.\rho^2.\upsilon = \pi.1.14 = 14.\pi \simeq 44.$

Τέλος ἀφαιρεῖ ἀπὸ τὸ 144 τὸ 44 ὁπότε ἡ ζητουμένη ποσότητα εἶναι 100 τετρ. οὐργίες.

Ἀκολουθεῖ πανομοιότυπο πρόβλημα μὲ δεξαμενὴ σχήματος κυλινδρικοῦ καὶ σφαιρικὸ κίονα.

κεφ. 235. (σλε). Ὑπολογισμὸς ὄγκου δοχείου τὸ ὁποῖο ἀποτελεῖται ἀπὸ 30 σανίδες καὶ δέχεται 30 μέτρα, καὶ κατόπιν μετατρέπεται σὲ ἰδίας μορφῆς δοχεῖο ἀποτελούμενο ἀπὸ 20 σανίδες.

Στὸ χειρόγραφο περιγράφονται τέσσερεις μέθοδοι ἐπίλυσης τῶν ὁποίων δίνουμε μία συνοπτικὴ περιγραφή.

1η μέθοδος:

30.30 = 900, 20.20 = 400, 900/(12 4/7) = 71 13/22, 400/(12 4/7) = 31 9/11, 30.(31 + 9/11) = 954 6/11,

(954 + 6/11)/(71 + 13/22) = 13 1/3.

Ὁ συγγραφέας παρατηρεῖ ὅτι διαιροῦμε μὲ τὸ 12 4/7, διότι «ἔτσι ἐμάθαμε ἀπὸ τὴν περίμετρο τοῦ κύκλου νὰ εὑρίσκουμε τὸ ἐμβαδὸν αὐτοῦ». Ἐπίσης σημειώνει, ὅτι θεωρεῖ τὸν τρόπο αὐτὸ ἀσαφῆ καὶ ἄχρηστον.

2η μέθοδος:

30.30 = 900, 20.20 = 400, 30/χ = 900/400, ἀπὸ ὅπου προκύπτει ὅτι χ = 13 1/3.

3η μέθοδος:

20.20 = 400, 400/30 = 13 1/3 ἢ 20/30 = χ/20.

Ἐξηγεῖ πῶς ἡ δευτέρα καθὼς καὶ ἡ τρίτη μέθοδος χρησιμοποιοῦνται ὅταν ὁ ἀριθμὸς τῶν σανίδων καὶ τῶν μέτρων εἶναι ὁ ἴδιος.

4η μέθοδος:

30.30 = 900, 20.20 = 400, 900/30 = 30, 400/30 = 13 1/3.

Τὸ 30 μὲ τὸ ὁποῖο διαιροῦμε τὸ 900 εἶναι ὁ μερισθὴς καὶ ἔχουμε πάλι 30 μέτρα ὡς ἀποτέλεσμα.

Σχολιάζοντας κατ' ἀρχὴν τὴν διατύπωση τῆς ἐκφώνησης τοῦ προβλήματος διαπιστώνουμε τὴν ἀσάφεια τῆς ἐκφράσεως «ἀποτελεῖται ἀπὸ 30 σανίδες». Ὅσον ἀφορᾶ δὲ στὴν ἔκφραση «δέχεται 30 μέτρα», ἔχουμε ἤδη παρατηρήσει ὅτι πρόκειται γιὰ τὸν ὄγκο τοῦ κυλινδρικοῦ δοχείου. Ἐπομένως, τὸ ζητούμενο εἶναι ὁ ὄγκος ἑνὸς νέου δοχείου τὸ ὁποῖο ἀποτελεῖται ἀπὸ 30 σανίδες. Ὅπως ὅμως προκύπτει ἀπὸ τὸ σχόλιο τὸ ὁποῖο ὁ συγγραφέας κάνει γιὰ τὴν διαίρεση τοῦ 900 μὲ τὸ 12 4/7, προκύπτει ὅτι $900 = 4\pi^2\rho^2$, καὶ $12\ 4/7 = 4\pi$. Συνεπῶς τὸ πηλίκον $900/(12\ 4/7) = 71\ 13/22$ παριστάνει τὸ ἐμβαδὸν τῆς βάσεως τοῦ πρώτου κυλινδρικοῦ δοχείου. Ἄρα ἡ ἔκφραση «ἀποτελεῖται ἀπὸ 30 σανίδες», σημαίνει ὅτι ἡ περίμετρος τῆς βάσεως εἶναι ἴση μὲ 30.

Κατόπιν ἐπιλύεται ἀπὸ τὸν συγγραφέα ὡς πρὸς χ ἡ ἀναλογία:

$30/(71\ 13/22) = \chi/(31\ 9/11)$, ἡ ὁποία δίνει

$\chi = 13\ 1/3$, καὶ τὸ χ παριστάνει τὸν ὄγκο τοῦ δεύτερου δοχείου. Ἡ σχέση ὅμως

$30/(71\ 13/22) = \chi/(31\ 9/11)$, εἶναι ἰσοδύναμη μὲ

$O/E = O_1/E_1$,

(ὅπου μὲ Ο καὶ Ε συμβολίζουμε τὸν ὄγκο καὶ τὸ ἐμβαδὸν βάσεως τοῦ πρώτου δοχείου, καὶ μὲ O_1 καὶ E_1 τὰ ἀντίστοιχα μεγέθη τοῦ δευτέρου δοχείου),

ἡ ὁποία εἶναι ἰσοδύναμη μὲ

$(\pi.\rho^2.\upsilon)/(\pi.\rho^2) = (\pi.\rho_1{}^2.\upsilon)/(\pi.\rho_1{}^2)$

ἡ ὁποία ἰσχύει διότι καὶ τὰ δύο μέλη αὐτῆς εἶναι ἴσα μὲ υ, ὅπου μὲ υ συμβολίζουμε τὸ ὕψος τὸ ὁποῖο εἶναι τὸ ἴδιο καὶ στοὺς δύο κυλίνδρους.

κεφ. 236. (σλς). Τετραγωνισμὸς σφαιροειδοῦς πιθαριοῦ μὲ περίμετρο μεγίστου κύκλου 3 1/7 οὐργίες.

Ζητεῖ τὴν εὕρεση τοῦ ὄγκου σφαίρας ὅταν δίνεται ἡ περίμετρος τοῦ μεγίστου κύκλου αὐτῆς. Ἐπειδὴ ὅμως θεωρεῖ τὸ $\pi = 3\ 1/7$, γιὰ τὸν λόγο αὐτὸ προκύπτει ὅτι $2\rho = 1$, ὁπότε ὑπολογίζει τὸν ὄγκο τῆς σφαίρας χρησιμοποιώντας τὸν τύπο $O = (4/3).\pi.\rho^3$.

Βρίσκει λοιπὸν ὅτι $O = 22/42$ τετρ. οὐργίες. Κατόπιν θεωρεῖ ὅτι κάθε τετράγωνος οὐργία δέχεται 50 μέτρα, καὶ γράφει: $(22/42)50 = 26\ 4/21$.

Τὸ ἴδιο πρόβλημα τὸ λύνει μὲ σπιθαμὲς ἀντὶ γιὰ οὐργίες, καὶ κατόπιν θεωρεῖ ὅτι κάθε σπιθαμὴ δέχεται 6 ψήφους. Ἐπειδὴ ὅμως κάθε μέτρο ἔχει 36 ψήφους, θὰ ἔχει 6 τετρ. σπιθαμές, κ.λ.π.

Στὸ ἐπόμενο πρόβλημα ζητεῖ νὰ ὑπολογισθεῖ ὁ ὄγκος τοῦ δοχείου, τὸ ὁποῖο φαίνεται στὸ σχῆμα, ὅταν ἡ περίμετρος τοῦ μεγίστου κύκλου εἶναι ἴση μὲ 22, ἡ περίμετρος τῶν βάσεων εἶναι ἴση μὲ 10, τὸ ὕψος εἶναι ἴσο μὲ 10, καὶ τὸ ὕψος ἀπὸ τὸν μέγιστο κύκλο μέχρι τὸ χεῖλος εἶναι ἴσο μὲ 5.



Λαμβάνει τὸ «ἐξ’ ἀναλόγου» τῆς περιμέτρου τῶν κύκλων, τὸ ὁποῖο σημαίνει ὅτι λαμβάνει τὸν μέσο ὅρο τοῦ 22 καὶ τοῦ 10, ὁ ὁποῖος εἶναι ἴσος μὲ 16. Κατόπιν θεωρεῖ νέο κύκλο μὲ περίμετρο ἴση μὲ 16 καὶ, ἀπὸ τὴν περίμετρο αὐτοῦ τοῦ νέου κύκλου ὑπολογίζει τὸ ἐμβαδὸν του ἀκολουθώντας τὴν γνωστὴ διαδικασία. Τέλος πολλαπλασιάζει τὸ ἐμβαδὸν τοῦ τελευταίου κύκλου μὲ τὸ ὕψος τοῦ δοχείου καὶ ἔχει τὸν ζητούμενο ὄγκο. Θεωρεῖ δηλαδὴ, ὅτι τὸ ἀρχικὸ δοχεῖο ἔχει τὸν ἴδιο ὄγκο μὲ ἕνα δοχεῖο κυλινδρικοῦ σχήματος ἰδίου ὕψους μὲ περίμετρο βάσεως ἴση μὲ τὸν μέσον ὅρο τῶν περιμέτρων τοῦ μεγίστου καὶ τοῦ ἐλαχίστου κύκλου τοῦ ἀρχικοῦ δοχείου.

κεφ. 237, 238. (σλζ, σλη). Ὑπολογισμὸς ἀριθμοῦ μικρῶν πόλεων οἱ ὁποῖες περιέχονται μέσα σὲ μία μεγάλη πόλη, ὅταν τὰ σχήματα ὅλων τῶν πόλεων εἶναι κυκλικά.

Θεωρεῖ μία κυκλικὴ πόλη μὲ περίμετρο ἴση μὲ 22 μίλια, καὶ μία μικρὴ πόλη μὲ περίμετρο ἴση μὲ 4 μίλια. Ὑπολογίζει μὲ τὸν γνωστὸ τρόπο τὰ ἐμβαδὰ τῶν δύο πόλεων τὰ ὁποῖα εἶναι ἀντιστοίχως 38 1/2 καὶ 1 6/22 τετρ. μίλια. Διαιρεῖ τὰ ἐμβαδὰ καὶ προκύπτει ὅτι ἡ μεγάλη πόλη περιέχει 30 1/4 μικρὲς πόλεις. Κατόπιν παρατηρεῖ ὅτι, ἂν ὁ τρόπος εὕρεσης τοῦ ἐμβαδοῦ τοῦ κύκλου ἐκ τῆς περιμέτρου αὐτοῦ εἶναι σωστός, τότε (1/4)(1 + 6/22) = 7/22, ὁπότε 7/22 + 38 + 4/22 = 38 11/22, τὸ ὁποῖο εἶναι τὸ ἐμβαδὸν τῆς μεγάλης πόλης. Ἄρα δὲν ὑπάρχει πρὸς τὸ παρὸν ἀντίφαση. Ὅμως ἂν ὑπολογίσουμε τὴν ρίζα τοῦ 38 11/22, αὐτὴ θὰ εἶναι κατὰ προσέγγιση ἴση μὲ 6 10/49. Ἂν τώρα κατασκευασθεῖ τετράγωνο πλευρᾶς ἴσης μὲ 6 10/49, τότε ἡ περίμετρος αὐτοῦ θὰ εἶναι ἴση μὲ 24 4/5 καὶ ὄχι ἴση μὲ 22. Τὸ συμπέρασμα τὸ ὁποῖο ἐξάγεται κατὰ τὸν συγγραφέα, εἶναι πὼς ὁ ὑπολογισμὸς τοῦ ἐμβαδοῦ ἐκ τῆς περιμέτρου δὲν εἶναι σωστός, ἀλλὰ γίνεται «χάριν γυμνασίας».

ΚΕΙΜΕΝΟ
ΕΚΦΩΝΗΣΕΙΣ ΤΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ

ρξς´ Περὶ ἀποδόσεως τῆς τοῦ πράγματος μεταχειρίσεως, ἀρχῆς δὲ γεωμετρικῶν καὶ ἑτέρων διαφόρων τινῶν ζητημάτων.

ρξζ´ Περὶ τοῦ πῶς ἐστὶ ἐκ τῆς περιμέτρου τοῦ κύκλου εἰδέναι τὴν τούτου διάμετρον.

ρξη´ Περὶ τοῦ πῶς ἐστὶ ἐκ τῆς διαμέτρου τοῦ κύκλου εἰδέναι τὴν τούτου περίμετρον.

ρξθ´ Περὶ τοῦ πῶς ἐστὶ τοῦ ὑπὸ γῆς κεχωσμένου κύκλου, μέρος δὲ τούτου φαινόμενον, εἰδέναι διάμετρον καὶ περίμετρον πόσων σπιθαμῶν ἐστί.

ρο´ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς κύκλου τεθῆναι τετράγωνον σχῆμα κατὰ τὸ ἐγχωροῦν μεῖζον μέγεθος, καὶ εἰδέναι ἑκάστη πλευρὰ πόσων σπιθαμῶν ἐστί.

ροα´ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς ἡμισφαιρίου σχήματος τεθῆναι τετράγωνον σχῆμα ἰσόπλευρον καὶ εἰδέναι ἑκάστη πλευρὰ πόσων σπιθαμῶν ἐστί.

ροβ´ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς τετραγώνου σχήματος κύκλος τεθῆναι καὶ εἰδέναι τὴν τούτου διάμετρον καὶ περίμετρον πόσων σπιθαμῶν ἐστί.

ρογ´ Περὶ τοῦ πῶς ἐστὶ ἐπὶ σχήματος τετραγώνου, ὅπερ λέγεται ρόμβος, κύκλος τεθῆναι ἐντὸς καὶ εἰδέναι καὶ τὴν τοῦ ρόμβου καὶ τοῦ κύκλου διάμετρον.

ροδ´ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς κύκλου τεθῆναι σχῆμα τρίγωνον καὶ εἰδέναι ἀπὸ τῆς διαμέτρου τοῦ κύκλου τὴν τοῦ τριγώνου κάθετον, ἀπὸ δὲ τῆς τοῦ τριγώνου καθέτου εἰδέναι ἑκάστην πλευρὰν τοῦ τριγώνου. +

ροε´ Περὶ τοῦ πῶς ἐστὶ ἐκ τῆς πλευρᾶς τοῦ τριγώνου εἰδέναι τὴν τούτου κάθετον.

ρος´ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς τριγώνου σχήματος κύκλος τεθῆναι καὶ εἰδέναι ἀπὸ τῆς τοῦ τριγώνου πλευρᾶς τὴν τοῦ κύκλου διάμετρον καὶ περίμετρον.

ροζ´ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς τριγώνου σχήματος τεθῆναι τετράγωνον καὶ εἰδέναι πόσων σπιθαμῶν ἐστὶ ἡ τοῦ τετραγώνου πλευρά.

ροη´ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι ἀπὸ τοῦ κέντρου τοῦ τριγώνου μέχρι ἑκάστης γωνίας πόσαι σπιθαμαὶ εἰσί.

ροθ´ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι σκαληνοῦ σχήματος, τοῦ ἐκ τετραγώνου ἔχοντος δύο πλευράς, πόσων σπιθαμῶν ἐστὶ ἑκάστη τούτου πλευρά, εἰδέναι δὲ καὶ τὴν ἐντὸς τούτου τεθημένου κύκλου διάμετρον καὶ περίμετρον.

ρπ´ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς τοιούτου σκαληνοῦ σχήματος τετράγωνον τεθῆναι καὶ εἰδέναι ἀπὸ τῶν τοῦ σκαληνοῦ πλευρῶν ἑκάστην πλευρὰν τοῦ τετραγώνου πόσων σπιθαμῶν ἐστί.

ρπα´ Περὶ τοῦ πῶς ἐστὶ ἐκ τῶν πλευρῶν τὴν διαγώνιον εὐθείαν γραμμὴν εἰδέναι τοῦ τετραγώνου καὶ τὸ ἀνάπαλιν.

ρπβ´ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι κάθετον τριγώνου σκαληνοῦ σχήματος πόσων σπιθαμῶν ἐστί.

ρπγ´ Καὶ ἐκ τῆς ἑτέρας γωνίας ἁρξάμενος ἐπὶ τῆς ἐλάττονος πλευρᾶς περαιώσας.

ρπδ´ Καὶ ἐκ τῆς ἑτέρας γωνίας ἁρξάμενος ἐπὶ τῆς μείζονος πλευρᾶς περαιώσας.

ρπε´ Περὶ τοῦ πῶς ἐστὶ τεθῆναι ἐντὸς τοῦ σκαληνοῦ τούτου σχήματος τετράγωνον ἰσόπλευρον.

ρπς´ Περὶ τοῦ πῶς ἐστὶ κύκλος τεθῆναι ἐντὸς τοῦ σκαληνοῦ τούτου σχήματος.

ρπζ´ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι ἀπὸ τοῦ κέντρου τοῦ σκαληνοῦ μέχρι ἑκάστης γωνίας τῶν τριῶν πόσαι σπιθαμαὶ εἰσί. + +

ρπη΄ Περὶ τοῦ πῶς ἐστὶ ποιῆσαι κέντρον τοιοῦτον, ὥστε τὸ ἀπὸ τοῦ κέντρου διάστημα μέχρι ἑκάστης γωνίας τῶν τριῶν ἀνίσων πλευρῶν ἐν ἴσῳ διαστήματι καὶ ὅτι γενομένου κύκλου περὶ τὰς τρεῖς τούτου γωνίας εἰδέναι τὴν τούτου κύκλου διάμετρον.

ρπθ΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι διαφόρως τὶς ἐκτὸς καὶ ἐντὸς περιμέτρους πύργου τινός.

ρϟ΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι πύργου τινὸς τάφρον πόσων ὀργύων ἐστί + + +

ρϟα΄ Περὶ τοῦ πῶς ἐστὶ ποιῆσαι κλίμακα ὕψους ἱκανοῦ πρὸς τὸ διακλέψαι πόλιν ἢ πύργον τινά.

ρϟβ΄ Περὶ τοῦ ἐπὶ τείχους ἱσταμένου κόντου· πῶς ἐστὶ εἰδέναι πόσον γέγονεν χαμηλότερον τὸ ὕψος τούτου ἐξωθούμενος τοῦ τείχους ὑπὸ τοῦ κάτωθεν μέρους + + + +

(13A)ρϟγ΄ Περὶ τοῦ πῶς ἐστὶ δύο ἀνίσων καθ' ὕψος πύργων εἰδέναι τὴν ἐν μέσῳ τούτων διάστασιν, τὴν διὰ τῶν δύο καλωδίων γεγενημένην, εἰδέναι δὲ καὶ ἑκάστου καλωδίου μέγεθος.

ρϟδ΄ Περὶ τοῦ ὑποκλιθέντος δένδρου διὰ καλωδίου τανούμενον· πῶς ἐστὶ εἰδέναι πόσον γέγονεν ἐλάττω τὸ καλώδιον, ὅπερ ἦν πρότερον.

ρϟε΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι διὰ τοῦ τεθημένου κατὰ πλάτος ξύλου ἀνὰ μέσον δύο τινῶν μακρῶν ξύλων τὴν κατὰ τὸ ἓν τούτων ἄκρος κατὰ πλάτος ἐπάνοιξιν πόσων οὐργιῶν ἐστί.

ρϟς΄ Περὶ τοῦ πῶς ἐστὶ ἀπὸ τῆς ἐπανοίξεως τῶν δύο ἄκρων τῶν ξύλων εἰδέναι τὸ τεθήμενον πλάγιον ξύλον πόσων οὐργιῶν ἐστί.

ρϟζ΄ Περὶ τοῦ πῶς ἐστὶ διὰ τῆς ἐπανοίξεως τῶν δύο ἄκρων τῶν ξύλων καὶ τοῦ ἀνὰ μέσον τῶν δύο κατὰ πλάτος τεθημένου ξύλου εἰδέναι τὸ μῆκος τῶν δύο ξύλων πόσων οὐργιῶν ἐστί.

ρϟη΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι πόσον γέγονεν ἐλάττω τὸ μῆκος τῶν δύο ξύλων ἀπὸ τῶν ἄκρων μέχρι τῆς τούτων γωνίας διὰ τὸ ἐπανοῖξαι ἐπὶ μεῖζον τὴν τῶν ἄκρων διάστασιν.

ρϟθ´ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι πόσαι οὐργιαὶ λείπονται πρὸς τὸ ἀποπληρῶσαι τὴν ἐλάττως ἔχουσα γωνία διὰ τὸ ποιῆσαι στενοτέραν τὴν τῶν ἄκρων ἐπάνοιξιν.

σ´ Περὶ τοῦ πῶς ἐστὶ διὰ τῆς οὔσης ἐπανοίξεως, καὶ ἧς βούλει ποιῆσαι, εἰδέναι πόσων οὐργιῶν ξῦλον κατὰ μῆκος ἔχεις προσθῆναι πρὸς τὸ ποιῆσαι τὴν ζητουμένην ἐπάνοιξιν.

σα´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι κύκλον καὶ εἰδέναι τὸ ἐμβαδὸν αὐτοῦ πόσου ἐστὶ χωρητικόν.

σβ´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν 40 καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σγ´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν 30 καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σδ´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν 20 καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σε´ Περἰ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν 18 καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σς´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν 16 καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σζ´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν 14 καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

ση´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν 12 καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σθ´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν 10 καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σι´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν 8 καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σια´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν 6 καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σιβ´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν 5 καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σιγ´ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι ἐμβαδὸν τετραγώνου ἰσοπλεύρου ὀρθογωνίου καὶ παραλληλογράμμου πόσου ἐστὶ χωρητικόν.

σιδ΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι τετραγώνου τραπεζίου ἐμβαδὸν πόσου ἐστὶ χωρητικόν.

σιε΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι ρόμβου ἐμβαδὸν πόσου ἐστὶ χωρητικόν.

σις΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι ρομβοειδοῦς σχήματος ἐμβαδὸν πόσου ἐστὶ χωρητικόν.

σιζ΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι ἰσοπλεύρου τργώνου σχήματος ἐμβαδὸν πόσου ἐστὶ χωρητικόν.

σιη΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι ἰσοσκελοῦς τριγώνου ὀξυγωνίου ἐμβαδὸν καὶ ἰσοσκελοῦς τριγώνου ἀμβλυγώνιου πόσου ἐστὶ χωρητικόν.

σιθ΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι τριγώνου σκαληνοῦ σχήματος ἐμβαδὸν πόσου ἐστὶ χωρητικόν.

σκ΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν ἰσοπλεύρου καὶ ἰσοσκελοῦς οὐ πεπληρωμένου τριγώνου, ἀλλ' ἐλάττως ἔχοντος, καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σκα΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν ἑξαγώνου ἐκ δύο τριγώνων ἰσοπλεύρων συντεθήμενον καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σκβ΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν ἐκ διαφόρων σχημάτων συντεθήμενον καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

σκγ΄ Περὶ τοῦ ποίου ἐστὶ πολυχωρεστέρου σχήματος.

σκδ΄ Περὶ τοῦ πῶς ἐστὶ ἡ τούτων ζήτησις χρήσιμος εἰς γεωδαιτικὰς παραδόσεις μοδισμῶν.

σκε΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι οἴκου τινὸς ἔδαφος πόσων οὐργιῶν ἐστί, καὶ ἄλλα τινὰ ὅμοια τούτου ζητήματα.

σκς΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι πόσας ἐλάττονας πόλεις ἔχει δέξασθαι τὸ ἐμβαδὸν τῆς μείζονος πόλεως.

σκζ΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι διὰ πόσων καλυμμάτων ἔχεις καλύψαι στῦλον τινὸς ἰσόπλευρον ἢ ἑτερομήκη.

σκη΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι διὰ πόσων βαρεμάτων οἰκοδομῆσαι ἔχεις στῦλον τινά, ὅσου ἂν ὕψους καὶ πλάτους βούλει.

σκθ΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι πόσαι σπιθαμαὶ χάσδεον ἔχοσιν καλύψαι σφαίραν τινα.

σλ΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι πόσων σπιθαμῶν πανὶν ἐστὶ σύχρειον πρὸς τὸ ποιῆσαι σκηνήν, ὅσου ἂν μεγέθους βούληται.

σλα΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι, ὁ ἐκ τῶν δύο σάκκων, τῶν δεχομένων ὁ μὲν μοδία 6, ὁ δὲ 4, γενόμενος εἷς σάκκος πόσα μοδία δέξεται.

σλβ΄ Περὶ τοῦ πῶς ἐστὶ διὰ τοῦ πλάτους καὶ μήκους τοῦ σιτοδόχου οἴκου καὶ τὸ ὕψος τούτου εἰδέναι, πόσων οὐργιῶν ἐστὶ ἐν ὃ καὶ πόσα μοδία δέξεται.

σλγ΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι πόσον ὕδωρ ἐξεχύθη ἐκ τοῦ φρέατος διὰ τὸ πεσεῖν ἐντὸς τούτου κύων στρογγυλὸς καθ΄ ὕψος οὐργιῶν 14.

σλδ΄ Περὶ τῆς ὑδροφόρου δεξαμενῆς τῆς ἐχούσης σωλήνας τρεῖς.

σλε΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι (14α) οἰνοδόχον ἄγγος, τὸ κοινῶς ροούτζιον καλούμενον, τῷ ὄντι σανιδῶν 30, δεχόμενον δὲ καὶ μέτρα 30, γενόμενο δὲ σανιδῶν 20, τόσα μέτρα ἐλάττω τῷ τῶν 30 δέξεται.

σλς΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι οἰνοδόχον πῖθον καὶ εἰδέναι πόσα μέτρα οἶνον ἔχει ἐντός. + + + +

σλζ΄ Ἕτερον ζήτημα τούτου ὅμοιον.

σλη΄ Περὶ τοῦ πῶς ἐστὶ ἀποδεικτικῶς δεῖξαι ἀληθὴ ὄντος τὸν τοῦ κύκλου τετραγωνισμόν.

ΚΕΙΜΕΝΟ
ΤΑ ΠΡΟΒΛΗΜΑΤΑ ΑΝΑΛΥΤΙΚΑ

ρξζ´ Περὶ τοῦ πῶς ἐστὶ ἐκ τῆς περιμέτρου τοῦ κύκλου εἰδέναι τὴν τούτου διάμετρον.

Ἔστω κύκλος τις ὅστις ἐστὶ ἡ τούτου περίμετρος πιθαμῶν κβ. Ζητεῖς δὲ εἰδέναι καὶ τὴν τούτου διάμετρον. Δεῖ οὖν τοῦτο πρῶτον γιγνώσκειν ὅτι παντὸς κύκλου περίμετρος, τριπλάσιον λόγον καὶ α/ζ ἔχει ἐκ τῆς διαμέτρου αὐτοῦ. Ποίησον οὖν ἕβδομα (30) ἀκέραια γ καὶ α/ζ. Τὰ δὲ γ καὶ α/ζ γίνονται κβ ἕβδομα. Ποίησον καὶ τὰς κβ σπιθαμὰς τῆς περιμέτρου ἕβδομα· ζ-κις οὖν κβ γίνονται ρνδ ἕβδομα. Μέρισον τὰ ρνδ ἕβδομα μετὰ τῶν κβ ἑβδόμων καὶ γίνεται ὁ τούτων διαμερισμὸς ζ. Ἐστὶ δὲ ἡ διάμετρος τοῦ κύκλου σπιθαμῶν ζ, ὅστις κύκλος ἔχει περίμετρον σπιθαμῶν κβ.

α

αεδ

ββ

ζ



Ὡσαύτως δὲ καὶ παντὸς κύκλου ζητῶν εἰδέναι διάμετρον, ποίησον τὴν τοῦ ζητουμένου κύκλου περίμετρον, ἕβδομα, καὶ μέρισον τὰ γενόμενα ἕβδομα πάντοτε μετὰ τῶν κβ ἑβδόμων ὧν ποιοῦσιν τὰ (35) γ καὶ α/ζ. Καὶ ὅσος γένηται ὁ τούτων διαμερισμός, τοσούτων σπιθαμῶν ἐστὶ ἡ τοῦ ζητουμένου κύκλου διάμετρος.

ρξη΄ Περὶ τοῦ πῶς ἐστὶ ἐκ τῆς διαμέτρου τοῦ κύκλου εἰδέναι τὴν τούτου περίμετρον.

Ἔστω ὁ αὐτὸς κύκλος ὅστις ἐστὶ ἡ διάμετρος τούτου σπιθαμῶν ζ. Ζητεῖς δὲ τὸ ἀνάπαλιν, ἐκ τῆς διαμέτρου μᾶλλον (98β)(1) εἰδέναι τὴν τούτου περίμετρον. Ἐπεὶ δὲ εἴπομεν ὅτι τριπλάσιον λόγον καὶ α/ζ ἔχει ἡ περίμετρος τῆς διαμέτρου, τριπλασίασον τὴν διάμετρον ἥτις ἐστὶ σπιθαμῶν ζ· γ-ὶς οὖν ζ γίνονται κα. Λαβὲ καὶ α/ζ τῶν ζ ὅπερ ἐστὶ ἀκέραιον α· κα οὖν καὶ α γίνονται κβ. Ἐστὶ δὲ ἡ περίμετρος σπιθαμῶν κβ. Καὶ ἰδοὺ εὗρες ἐκ τῆς διαμέτρου τῶν ζ σπιθαμῶν ὅτι ἡ περίμετρος ἐστὶ σπιθαμῶν κβ. Ὡσαύτως δὲ καὶ παντὸς κύκλου ζητῶν εἰδέναι περίμετρον, τριπλασίασον τὴν διάμετρον τοῦ ζητουμένου κύκλου. Λαβὲ δὲ καὶ α/ζ τῆς διαμέτρου, καὶ (5) ὅσος γένηται ὁ τριπλασιασμὸς τῆς διαμέτρου μετὰ τῆς προσθέσεως τοῦ α/ζ τῆς αὐτῆς διαμέτρου, τοσούτων σπιθαμῶν ἐστὶ ἡ τοῦ ζητουμένου κύκλου περίμετρος.

ρξθ΄ Περὶ τοῦ πῶς ἐστὶ τοῦ ὑπὸ γῆς κεχωσμένου κύκλου, μέρος δὲ τούτου φαινόμενον, εἰδέναι διάμετρον καὶ περίμετρον πόσων ἐστὶ σπιθαμῶν.

Ἔστω κύκλος τις ἐκ λίθου γεγενημένος καὶ ὑπὸ γῆς κεχωσμένος, βραχύ τι μέρος τούτου φαινόμενον, ὅπερ κατὰ πλάτος μὲν τὸ πρὸς γῆν φαινόμενον μέρος ἐστὶ σπιθαμῶν η. Τὸ δὲ ἀπὸ γῆς μέχρι τῆς κορυφῆς τούτου ὕψος ἐστὶ σπιθαμῶν β. Ζητεῖς δὲ εἰδέναι τὴν τούτου διάμετρον καὶ περί(10)μετρον πόσων σπιθαμῶν ἐστί. Ἔχεις δὲ ταῦτα εἰδέναι οὕτως:



Λαβὲ τὸ ἥμισυ τοῦ πρὸς γῆν φαινομένου πλάτους τῶν η σπιθαμῶν καὶ πολλαπλασίασον τὸ ἥμισυ εἰς ἑαυτό· δ-κις οὖν δ γίνονται ις. Μέρισον ταῦτας τὰς ις σπιθαμὰς μετὰ τῶν β σπιθαμῶν τοῦ ὕψους καὶ γίνεται ὁ τούτων διαμερισμὸς η· β-ὶς γὰς η ις γίνονται. Ἕνωσον ταῦτας τὰς η σπιθαμὰς μετὰ τῶν β τοῦ ὕψους δι' ὧν ἐμέρισας τὰ ις, καὶ (15) γίνονται ι. Ἐστὶ δὲ ἡ διάμετρος τοῦ ἀφανοῦς τούτου κύκλου σπιθαμῶν ι. Τριπλασίασον τὰς ι σπιθαμὰς τῆς διαμέτρου καὶ γίνονται λ. Λαβὲ καὶ α/ζ τῶν ι, ὅπερ ἐστὶ ἀκέραιον α καὶ γ/ζ μιᾶς σπιθαμῆς. Ἕνωσον τὰς λ σπιθαμὰς μετὰ τῆς α καὶ γ/ζ καὶ γίνονται λα καὶ γ/ζ μιᾶς σπιθαμῆς. Κατὰ γ' οὖν τὸν γεωμετρικὸν ὅρον τὸν λέγοντα ὅτι, πάσα περίμετρος, τριπλάσιον λόγον καὶ α/ζ ἔχει τῆς περιμέτρου, ἐστὶ καὶ ἡ περίμετρος τοῦ ἀφανοῦς τούτου κύκλου σπιθαμῶν λα καὶ γ/ζ μιᾶς σπιθαμῆς.

Καὶ ἄλλως: Ἔστω ὁ αὐτὸς μὴ ἐξ' ὅλου φαινόμενος κύκλος ἀλλὰ τὸ ἔλαττον μὲν τούτου μέρος φαινόμενον (20) , τὸ μεῖζον δὲ ὑπὸ γῆς κρυπτόμενον μέρος. Ἐστὶ δὲ τὸ πρὸς γῆν φαινόμενον τούτου μέρος σπιθαμῶν η ὡς εἴπομεν. Ποίησόν δε ἀνωτέρω τῆς εὐθείας γραμμῆς τῶν η σπιθαμῶν ἑτέραν εὐθείαν γραμμήν. Ζήτει δὲ πόσων σπιθαμῶν ἐστὶ ἡ ἑτέρα εὐθεία γραμμὴ ἣν ἐποίησας. Ἔστω δὲ σπιθαμῶν ς. Ζήτει δὲ ἀπὸ τῆς κατωτέρω μείζονος εὐθείας γραμμῆς, μέχρι τῆς ἄνωθεν ἐλάττονος εὐθείας γραμμῆς τῶν ς σπιθαμῶν, πόσαι σπιθαμαὶ εἰσί.

Ἔστω δὲ (25) ἡ τούτων διάστασις α σπιθαμῆς. Πολλαπλασίασον τὸ ἥμισυ τῆς μείζονος εὐθείας γραμμῆς τῶν η σπιθαμῶν· δ-κις οὖν δ γίνονται ις. Πολλαπλασίασον καὶ τὸ ἥμισυ τῆς ἐλάττονος ἄνωθεν εὐθείας γραμμῆς τῶν ς σπιθαμῶν· γ-ὶς οὖν γ γίνονται θ. Πολλαπλασίασον καὶ τὴν τούτων διάστασιν ἥτις ἐστὶ σπιθαμὴ α· ἅπαξ οὖν α πάλιν ἐστὶ α. Πρόσθες οὖν καὶ ταύτην τὴν α σπιθαμὴν ἐπὶ τῶν θ καὶ γίνονται σπιθαμαὶ ι. Ἄφελε ταύτας τὰς ι σπιθαμὰς ἐκ τῶν ις καὶ ἀπομένοσιν σπιθαμαὶ ς. Διπλασίασον τὴν (30) τῶν δύο εὐθειῶν γραμμῶν διάστασιν ἥτις ἐστὶ σπιθαμὴ α· β-ὶς οὖν α γίνονται β. Μέρισόν δε τὰς ς σπιθαμὰς ἃς ἀπέμειναν ἐκ τῶν ις, μετὰ τῶν β καὶ γίνεται ὁ τούτων διαμερισμὸς γ. Ἀπὸ γ’ οὖν τῆς μείζονος εὐθείας γραμμῆς τῶν η σπιθαμῶν, μέχρι τοῦ κέντρου, ταυτὸν δ’ εἰπεῖν μέχρι τῆς διαμέτρου ἐστὶ σπιθαμαὶ γ. Πολλαπλασίασον ταύτας τὰς γ σπιθαμὰς εἰς ἑαυτάς· γ-ὶς γ’ οὖν γ γίνονται θ. Ἕνωσον ταύτας μετὰ τῶν ις ὧν ἐπολλαπλασίασας τὸ ἥμισυ τῶν η, καὶ ἐγένοντο δ-κις δ, ις, καὶ γίνονται σπιθαμαὶ κε. Ζήτει τὴν ρίζαν τῶν κε ἥτις ἐστὶ ε· ε-κις γὰρ ε, κε γίνονται. Ἐστὶ δὲ τὸ ἥμισυ τῆς διαμέτρου σπιθαμῶν ε, ἡ δὲ ὅλη διάμετρος σπιθαμῶν ι.

Καὶ ἄλλως: Τετραπλασίασον τὰς κε σπιθαμάς· δ-κις οὖν κε γίνονται ρ. Ζήτει τὴν ρίζαν τῶν ρ ἥτις ἐστὶ ι· (35) ι-κις γὰρ ι γίνονται ρ. Ἐστὶ δὲ ἡ ὅλη διάμετρος τοῦ ἀφανοῦς τούτου κύκλου σπιθαμῶν ι, ὡς καὶ διὰ τῆς πρώτης μεταχειρίσεως οὕτως εὕραμεν. Ἀπὸ δὲ τῆς διαμέτρου τῶν ι σπιθαμῶν, εὑρίσκεται ἡ περίμετρος σπιθαμῶν λα καὶ γ/ζ ὡς ἀνωτέρω σαφέστερον εἴπομεν.

Ὡσαύτως καὶ παντὸς μὴ φαι(99α)(1)νομένου κύκλου ζητῶν διάμετρον τε καὶ περίμετρον, διὰ μόνου τοῦ φαινομένου μέρους, ἔχεις εἰδέναι διὰ τῶν εἰρημένων δύο μεταχειρίσεων τὴν τούτου διάμετρόν τε καὶ περίμετρον πόσων σπιθαμῶν εἰσί.

Ἔστω δὲ ὅτι ζητεῖς εἰδέναι ἀπὸ τοῦ κέντρου, ταυτόν δ’ εἰπεῖν ἀπὸ τῆς διαμέτρου τῶν ι σπιθαμῶν μέχρι τῆς μείζονος εὐθείας γραμμῆς τῶν η σπιθαμῶν, πόση ἐστὶ καθ' ὕψος ἡ τούτων διάστασις. Ὡσαύτως καὶ ἀπὸ τοῦ κέντρου μέχρι τῆς ἀνωτέρω ἐλάττονος εὐθείας γραμμῆς τῶν ς σπιθαμῶν, πόση ἐστὶ καθ' ὕψος ἡ τούτων διάστασις. Πολλα(5)πλασίασον τὸ ἥμισυ τῆς διαμέτρου τῶν ι σπιθαμῶν εἰς ἑαυτό· ε-κις οὖν ε γίνονται κε. Πολλαπλασίασον καὶ τὸ ἥμισυ τῆς μείζονος εὐθείας γραμμῆς τῶν η σπιθαμῶν· δ-κις οὖν δ γίνονται ις. Ἄφελε ταῦτα ἐκ τῶν κε καὶ ἀπομένοσιν θ. Ζήτει τὴν ρίζαν τῶν θ ἥτις ἐστὶ γ. Ἐστὶ δὲ ἀπὸ τοῦ κέντρου καὶ τῆς διαμέτρου ταυτὸν γὰρ ἐστί, μέχρι τῆς μείζονος εὐθείας γραμμῆς τῶν η σπιθαμῶν, καθ' ὕψος διάστασις σπιθαμῶν γ.

Πολλαπλασίασον πάλιν τὸ ἥμισυ τῆς διαμέτρου τῶν ι σπιθαμῶν· ε-κις οὖν ε γίνονται κε. Πολλαπλασίασον καὶ τὸ ἥμισυ τῆς ἐλάττονος ἀνωτέρω εὐθείας γραμμῆς τῶν ς σπιθαμῶν· γ-ὶς οὖν γ γίνονται θ. Ἄφελε ταῦτα ἐκ τῶν κε καὶ ἀπομένοσιν ις. Ζήτει τὴν ρίζαν τῶν ις ἥτις ἐστὶ δ. Ἐστὶ δὲ ἀπὸ τοῦ κέντρου καὶ (10) τῆς διαμέτρου, μέχρι τῆς ἐλάττονος ἄνωθεν εὐθείας γραμμῆς τῶν ς σπιθαμῶν, καθ' ὕψος διάστασις σπιθαμῶν δ.

Ὡσαύτως καὶ πᾶν ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας μεταχειρίσεως, ἔχεις εἰδέναι ἀπὸ τοῦ κέντρου τοῦ ἀπτομένου τῇ διαμέτρῳ, πόσων σπιθαμῶν ἐστὶ ἡ καθ'ὕψος διάστασις μέχρι τῆς ἄνωθεν ἐγκαρσίου εὐθείας γραμμῆς, ἣν ἂν ἔχῃς ζητῶν.

Ἔχεις δὲ καὶ ἄλλως εἰδέναι τὴν τούτου διάμετρον.

[1]Ἔστω ὁ αὐτὸς κύκλος οὐχ ὑπὸ γῆς κρυπτόμενος, ἀλλὰ φαινόμενος ὅλος. Ποίησον ἀνωτέρω τοῦ κέντρου εὐθείαν

1. Καὶ τὸ ἀνάπαλιν: Ἔστω ὅτι ἀνωτέρω τοῦ κέντρου ἐποίησας εὐθείαν γραμμὴν ἀπέχουσα τοῦ κέντρου σπιθαμῶν δ. Ζητεῖς δὲ εἰδέναι πόσων σπιθαμῶν ἐστὶ ἡ εὐθεία γραμμὴ ἣν ἐποίησας. Ἔχεις δὲ ταύτη εἰδέναι οὕτως: Πολλαπλασίασον τὴν διάμετρον εἰς ἑαυτή· ι-κις οὖν ι γίνονται ρ. Διπλασίασον τὰς σπιθαμὰς ἃς ἀφίσταται ἀπὸ τοῦ κέντρου ἡ εὐθεία γραμμὴ ἣν ἐποίησας καὶ γίνονται η. Πολλαπλασίασον ταύτας εἰς ἑαυτάς· η-κις οὖν η γίνονται ξδ. Ἄφελε ξδ ἐκ τῶν ρ

γραμμήν. Ἔστω δὲ αὐτὴ σπιθαμῶν ς. Ποίησον καὶ κατωτέρω τοῦ κέντρου ἑτέραν εὐθείαν γραμμήν. Ἔστω δὲ αὐτὴ σπιθαμῶν η. Ἐστὶ δὲ ἀπὸ τῆς (15) κατωτέρω εὐθείας γραμμῆς τῶν η σπιθαμῶν, μέχρι τῆς ἀνωτέρω εὐθείας γραμμῆς τῶν ς σπιθαμῶν, ἡ καθ' ὕψος τούτων διάστασις σπιθαμῶν ζ.

Πολλαπλασίασόν δε εἰς ἑαυτὸ τὸ ἥμισυ τῆς ἄνωθεν ἐλάττονος εὐθείας γραμμῆς τῶν ς σπιθαμῶν· γ-ὶς οὖν γ γίνονται θ. Πολλαπλασίασον καὶ τὴν καθ' ὕψος τούτων διάστασιν τῶν ζ σπιθαμῶν εἰς ἑαυτή· ζ-κις οὖν ζ γίνονται μθ. Ἕνωσον ταύτας μετὰ τῶν θ σπιθαμῶν καὶ γίνονται ὁμοῦ νη. Πολλαπλασίασον εἰς ἑαυτὸ καὶ τὸ ἥμισυ τῆς κάτωθεν (20) μείζονος εὐθείας γραμμῆς τῶν η σπιθαμῶν· δ-κις οὖν δ γίνονται ις. Ἄφελε ταύτας ἐκ τῶν νη καὶ ἀπομένοσιν μβ. Διπλασίασον τὰς ζ σπιθαμὰς τῆς καθ' ὕψον διαστάσεως καὶ γίνονται ιδ. Μέρισον τὰς μβ σπιθαμὰς μετὰ τῶν ιδ καὶ γίνεται ὁ τούτων διαμερισμὸς γ. Ἐστὶ δὲ ἀπὸ τῆς κατωτέρω μείζονος εὐθείας γραμμῆς τῶν η σπιθαμῶν, μέχρι τοῦ κέντρου, σπιθαμαὶ γ. Πολλαπλασίασον ταύτας εἰς ἑαυτάς· γ-ὶς οὖν γ γίνονται θ.

α
δβ
αδ
γ

Πολλαπλασίασον καὶ τὸ ἥμισυ τῆς κάτωθεν μείζονος

καὶ ἀπομένοσιν λς. Ζήτει τὴν ρίζαν τῶν λς ἥτις ἐστὶ ς. Ἐστὶ δὲ ἡ εὐθεία γραμμὴ ἣν ἐποίησας, σπιθαμῶν ς. Ἔστω δὲ ὅτι ἐποίησας καὶ ἑτέραν εὐθείαν γραμμὴν ἀπέχουσαν τοῦ κέντρου σπιθαμὰς γ. Πολλαπλασίασον τὴν διάμετρον εἰς ἑαυτή· ι-κις οὖν ι γίνονται ρ. Διπλασίασον τὰς γ σπιθαμὰς ἃς ἀφίσταται ἀπὸ τοῦ κέντρου ἡ εὐθεία γραμμὴ ἣν ἐποίησας, καὶ γίνονται ς. Πολλαπλασίασον ταύτας εἰς ἑαυτάς· ς-κις οὖν ς γίνονται λς. Ἄφελε λς ἐκ τῶν ρ καὶ γίνονται ξδ. Ζήτει τὴν ρίζαν τῶν ξδ ἥτις ἐστὶ η. Ἐστὶ δὲ ἡ εὐθεία γραμμὴ ἣν ἐποίησας, σπιθαμῶν η. Ὡσαύτως δὲ καὶ πάσαν ἄλλην εὐθείαν γραμμὴν, διὰ τῆς ὁμοίας μεταχειρίσεως ἔχεις εἰδέναι πόσων σπιθαμῶν ἐστί.

εὐθείας γραμμῆς τῶν η σπιθαμῶν εἰς ἑαυτό· δ-κις οὖν δ γίνονται ις. Ἕνωσον ταύτας μετὰ τῶν θ καὶ γίνονται ὁμοῦ κε. Ζήτει τὴν ρίζαν (25) τῶν κε ἥτις ἐστὶ ε. Ἐστὶ δὲ τὸ ἥμισυ τῆς διαμέτρου σπιθαμῶν ε. Ἡ δὲ ὅλη διάμετρος σπιθαμῶν ι.

Καὶ ἄλλως: Τετραπλασίασον τὰς κε σπιθαμάς· δ-κις οὖν κε γίνονται ρ. Ζήτει τὴν ρίζαν τῶν ρ ἥτις ἐστὶ ι. Ἐστὶ δὲ ἡ καθ' ὅλου διάμετρος σπιθαμῶν ι. Ὡσαύτως δὲ καὶ παντὸς ἑτέρου κύκλου ζητῶν εἰδέναι τὴν διάμετρόν τε καὶ περίμετρον, διὰ τῶν ὁμοίων τούτων μεταχειρίσεων ὧν δεδηλώκαμεν, ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

ρο΄ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς κύκλου τεθῆναι τετράγωνον σχῆμαν κατὰ τὸ ἐγχωροῦν μεῖζον μέγεθος, καὶ εἰδέναι ἑκάστη πλευρὰ πόσων σπιθαμῶν ἐστί.

Ἔστω τις κύκλος ὅστις ἐστὶ ἡ διάμετρος αὐτοῦ σπιθαμῶν ς, τεθημένου δὲ (30) ἐντὸς τούτου, σχῆμα τετράγωνον, κατὰ τὸ ἐγχωροῦν μεῖζον μέγεθος, ζητεῖς εἰδέναι ἑκάστην πλευράν, πόσων σπιθαμῶν ἐστί. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως: Δεῖ οὖν τοῦτο πρῶτον εἰδέναι, ὅτι ὅσων σπιθαμῶν ἐστὶ ἡ διάμετρος τοῦ κύκλου, τοσούτων σπιθαμῶν ἐστὶ καὶ ἡ τοῦ τετραγώνου διαγώνιος, ἡ ἀπὸ γωνίαν εἰς γωνίαν γεγενημένη. Ἐπεὶ οὖν ἡ τοῦ κύκλου διάμετρος ἐστὶ σπιθαμῶν ς, καὶ ἡ τοῦ τετραγώνου διαγώνιος σπιθαμῶν ς ἐστί. Πολλαπλασίασόν δε τὰς ς σπιθαμὰς εἰς ἑαυτάς· ς-κις οὖν ς γίνονται λς. Λαβὲ τὸ ἥμισυ τῶν λς ὅπερ ἐστὶ ιη. Ζήτει τὴν ρίζαν τῶν ιη ἥτις ἐστὶ δ καὶ ιγ/νδ βραχύ τι ἐλάττω. Ἐστὶ δὲ ἑκάστη πλευρὰ τοῦ τετραγώνου σχήματος σπιθαμῶν δ καὶ ιγ/νδ βραχύ τι ἐλάττω. Τὰ δὲ ιγ/νδ ἐστὶ ἔγγιστα α/δ. Ἐστὶ δὲ ἑκάστη πλευρὰ σπιθαμῶν δ καὶ α/δ μιᾶς σπιθαμῆς ἔγγιστα.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον. Πολλαπλασίασον εἰς ἑαυτὴν (99β)(1) τὴν διαγώνιον τοῦ τετραγώνου ταυτόν δ' εἰπεῖν τοῦ κύκλου διάμετρον. Λαβὲ δὲ τὸ ἥμισυ τοῦ γεγονότος πολλαπλασιασμοῦ, καὶ ὅση ἐστὶ ἡ ρίζα τοῦ ἡμίσεως πολλαπλασιασμοῦ τῆς διαγωνίου τοῦ τετραγώνου, τοσαύτη ἐστὶ ἑκάστη πλευρὰ τοῦ τετραγώνου ἰσοπλεύρου σχήματος.

ροα´ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς ἡμισφαιρίου σχήματος, τεθῆναι τετράγωνον σχῆμα ἰσόπλευρον καὶ εἰδέναι ἑκάστη πλευρὰν πόσων σπιθαμῶν ἐστί.

Ἔστω ἡμισφαίριον σχῆμα ὅπερ ἐστὶ ἡ διάμετρος αὐτοῦ σπιθαμῶν ιβ, τεθημένου δὲ ἐντός, σχῆμα τετράγωνον ἰσόπλευρον κατὰ τὸ ἐγχωροῦν (5) μεῖζον μέγεθος. Ζητεῖς εἰδέναι ἑκάστη πλευρὰν πόσων σπιθαμῶν ἐστί. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως: Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν διάμετρον τοῦ ἡμισφαιρίου ἥτις ἐστὶ σπιθαμῶν ιβ ὡς εἴπομεν· ιβ-κις οὖν ιβ γίνονται ρμδ. Μέρισον ταῦτα πάντοτε μετὰ τῶν ε. Γίνεταί δε νῦν ὁ τούτων διαμερισμὸς κη καὶ δ/ε.

αδδ

εε

κη καὶ δ/ε



Ζήτει τὴν ρίζαν τοῦ κη καὶ δ/ε ἥτις ἐστὶ ε καὶ ια/λ. Τὰ γὰρ ε καὶ ια/λ τεχνικῶς πολλαπλασιαζόμενα εἰς ἑαυτὰ πολλαπλασιάζοσιν κη καὶ ψκα/ϡ ἅπερ ἐστὶ κη καὶ δ/ε. Ἐστὶ δὲ ἑκάστη πλευρὰ τοῦ τετραγώνου τοῦ σχήματος (10) σπιθαμῶν ε καὶ ια/λ μιᾶς σπιθαμῆς.

Ὡσαύτως δὲ καὶ πᾶν ὅμοιον ζήτημαν, πολλαπλασίασον εἰς ἑαυτὴ τὴν διάμετρον τοῦ ζητουμένου ἡμισφαιρίου. Μέρισόν δε τὸν γεγονότα πολλαπλασιασμὸν πάντοτε μετὰ τῶν ε.

Ζήτει δὲ τὴν ρίζαν τοῦ τοιούτου διαμερισμοῦ, καὶ ὅση ἐστὶ ἡ ρίζα τοῦ γεγονότος διαμερισμοῦ, τοσούτων σπιθαμῶν ἐστὶ ἑκάστη πλευρὰ τοῦ ἐντὸς τοῦ ἡμισφαιρίου τεθημένου τετραγώνου σχήματος οὗ ζητεῖς.

ροβ´ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς τετραγώνου σχήματος κύκλος τεθῆναι, καὶ εἰδέναι τὴν τούτου διάμετρον καὶ περίμετρον πόσων σπιθαμῶν ἐστί.

Ἔστω σχῆμαν τατράγωνον ἰσόπλευρον, ἐφ' ἑκάστης πλευρᾶς σπιθαμῶν ζ. Ἡ δὲ τούτου περίμετρος σπιθαμῶν κη. Τεθημένου δὲ κύκλου ἐντὸς κατὰ (15) τὸ ἐγχωροῦν μεῖζον μέγεθος, ζητεῖς εἰδέναι τὴν τούτου διάμετρον καὶ περίμετρον, πόσων σπιθαμῶν ἐστί. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως: Ζήτει πρῶτον τὴν διάμετρον τοῦ κύκλου. Ἐστὶ δὲ ἡ διάμετρος τοῦ κύκλου, ὅση ἐστὶ καὶ ἑκάστη πλευρὰ τοῦ τετραγώνου.

Τριπλασίασον τὴν διάμετρον· γ-ὶς οὖν ζ γίνονται κα. Λαβὲ καὶ α/ζ τῶν ζ ὅπερ ἐστὶ ἀκέραιον α καὶ ἕνωσον τοῦτο μετὰ τῶν κα καὶ γίνονται ὁμοῦ κβ. (20) Ἐστὶ οὖν ἡ περίμετρος τοῦ κύκλου σπιθαμῶν κβ.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν, ἡ πλευρὰ τοῦ τετραγώνου ἐστὶ ἡ διάμετρος τοῦ κύκλου. Ἀπὸ δὲ τῆς διαμέτρου τοῦ κύκλου, καὶ ἡ τούτου περίμετρος δήλη ἡμῖν γίνεται.

ρογ´ Περὶ τοῦ πῶς ἐστὶ ἐπὶ σχήματος τετραγώνου οὗπερ λέγεται ρόμβος, κύκλος τεθῆναι ἐντός, καὶ εἰδέναι καὶ τὴν τοῦ ρόμβου καὶ τοῦ κύκλου διάμετρον.

Ἔστω σχῆμα τετράγωνον ὅπερ εἰώθαμεν καλεῖν ρόμβον, ἑκάστη δὲ τούτου πλευρὰ ἔστω σπιθαμῶν ζ. Ἔστω δὲ καὶ ἡ ἐγκάρσιος τούτου διαγώνιος σπιθαμῶν ζ. Ζητεῖς δὲ εἰδέναι καὶ τὴν ὄρθιον τούτου διαγώνιον πόσων σπιθαμῶν ἐστί. Τεθημένου δὲ κύκλου ἐντός, κατὰ τὸ ἐγχωροῦν μεῖζον μέγεθος, ζητεῖς εἰδέναι καὶ τὴν τοῦ κύκλου διάμετρον, καὶ τὴν τούτου περίμετρον.

Ἔχεις δὲ ταῦτα εἰδέναι οὕτως: Ποίησον ἀπὸ τῆς ἄνωθεν ὀρθίας γωνίας μέχρι τοῦ μέσου τῆς ἐγκαρσίου διαγωνίου τῶν ζ σπιθαμῶν, εὐθείαν γραμμήν. Ζήτει δὲ πόσων σπιθαμῶν ἐστὶ αὐτὴ ἡ εὐθεία γραμμὴ ἣν ἐποίησας.

Ἔχεις δὲ ταύτη εἰδέναι διὰ τοῦ Λατινικῶς καλουμένου κανόνος τῆς σκάδρας, ἥτις σκάδρα κατὰ τὴν ἡμετέραν γλῶτταν σημαίνει τετράγωνος ἥτις ἐστὶ ὁ παρών: Πολλαπλασίασον τὴν τῶν ζ σπιθαμῶν πλευρὰν εἰς ἑαυτή· ζ-κις οὖν ζ γίνονται μθ. Πολλαπλασίασον καὶ τὸ ἥμισυ τῆς ἐγκαρσίου διαγώνου τῶν ζ σπιθαμῶν εἰς ἑαυτό· γ α/β-κις οὖν γ α/β τεχνικῶς πολλαπλασιαζόμενα, πολλαπλασιάζοσιν ιβ καὶ α/δ. Ἄφελε τὰ ιβ καὶ α/δ ἐκ τῶν μθ, καὶ ἀπομένοσιν λς καὶ γ/δ. Ζήτει τὴν ρίζαν τῶν λς καὶ γ/δ ἥτις ἐστὶ ς καὶ α/ις. Τὰ γὰρ ς καὶ α/ις τεχνικῶς πολλαπλασιαζόμενα πολλαπλασιάζοσιν κορυφὴν λς καὶ ρϟγ/σνς ἅπερ ἐστὶ λς καὶ γ/δ. Ἐστὶ δὲ ἀπὸ τῆς ἄνωθεν ὀρθίου γωνίας μέχρι τοῦ μέσου τῆς ἐγκαρσίου διαγώνου τῶν ζ σπιθαμῶν, ὅση ἐστὶ ἡ ρίζα τῶν λς καὶ γ/δ ἥτις ἐστὶ ὡς εἴπομεν σπιθαμαὶ ς καὶ α/ις μιᾶς σπιθαμῆς. Διπλασίασον ταύτας καὶ γίνονται ιβ καὶ β/ις. Ἐστὶ δὲ ἡ ὄρθιος διαγώνιος ἡ ἀπὸ τῆς ἄνωθεν γωνίας μέχρι τῆς κάτω, σπιθαμῶν ιβ καὶ β/ις μιᾶς σπιθαμῆς.

Καὶ ἄλλως προχειρεστέρως: Πολλαπλασίασον τὰς δύο πλευρὰς τὰς ἀνὰ ζ σπιθαμῶν οὖσαις, εἰς ἑαυτάς· ιδ-κις οὖν ιδ γίνονται (100α)(1) ρϟς. Πολλαπλασίασόν δε εἰς ἑαυτὴν καὶ τὴν ἐγκάρσιον διαγώνιον τῶν ζ σπιθαμῶν· ζ-κις οὖν ζ γίνονται ρμθ. Ἄφελε ταύτας ἐκ τῶν ρϟς καὶ ἀπομένοσιν ρμζ. Ἡ δὲ ρίζα τῶν ρμζ ἐστὶ ιβ καὶ β/ις. Εὗρες οὖν καὶ οὕτως προχειρεστέρως ὅτι ἡ ὄρθιος διαγώνιος, ἡ ἀπὸ τῆς ἄνωθεν γωνίας μέχρι τῆς κάτω, ἐστὶ σπιθαμῶν ιβ καὶ β/ις μιᾶς σπιθαμῆς.

Ἐὰν δὲ τουναντίον ζητῆς ὅτι ἡ μὲν ὄρθιος διαγώνιος, ἡ ἀπὸ τῆς ἄνωθεν γωνίας μέχρι τῆς κάτω, ἐστὶ σπιθαμῶν ιβ καὶ β/ις μιᾶς σπιθαμῆς, ἡ ἐγκάρσιος διαγώνιος πόσων σπιθαμῶν ἐστί, λαβὲ τὰ ἡμίση τῶν ιβ καὶ β/ις ὅπερ ἐστὶ ς καὶ α/ις, καὶ πολλαπλα(5)σίασον τὰ ς καὶ α/ις εἰς ἑαυτά, καὶ γίνεται ὁ τούτων πολλαπλασιασμὸς λς καὶ γ/δ. Πολλαπλασίασόν δε καὶ τὴν μίαν πλευρὰν τῶν ζ σπιθαμῶν εἰς ἑαυτή· ζ-κις οὖν ζ γίνονται μθ. Ἄφελε τὰ λς καὶ γ/δ ἐκ τῶν μθ, καὶ ἀπομένοσιν ιβ καὶ α/δ. Ἡ δὲ ρίζα τῶν ιβ καὶ α/δ ἐστὶ γ καὶ α/β. Ἐστὶ δὲ ἀπὸ τῆς ἐκ πλαγίου γωνίας μέχρι τοῦ μέσου τῆς ἐγκαρσίου διαγωνοῦ, σπιθαμαὶ γ καὶ α/β. Διπλασίασον ταύτας καὶ γίνονται ζ. Ἐστὶ δὲ ἡ ὅλη ἐγκάρσιος διαγώνιος σπιθαμῶν ζ.

Καὶ ἄλλως προχειρεστέρως: Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν ὅλην ὄρθιον διαγώνιον ἥτις ἐστὶ σπιθαμῶν ιβ καὶ β/ις μιᾶς σπιθαμῆς, καὶ γίνεται ὁ τούτων πολλαπλασιασμὸς ρμζ. Ἕνωσον δύο πλευράς· β-ὶς οὖν ζ γίνονται ιδ. Πολλαπλασίασον τὰς δύο ταύτας πλευρὰς εἰς ἑαυτάς· ιδ-κις οὖν ιδ γίνονται ρϟς. Ἄφελε (10) τὰ ρμζ ἐκ τῶν ρϟς καὶ ἀπομένοσιν μθ. Ἡ δὲ ρίζα τῶν μθ ἐστὶ ζ. Εὗρες οὖν καὶ οὕτως προχειρεστέρως ὅτι ἡ ὅλη ἐγκάρσιος διαγώνιος ἐστὶ σπιθαμῶν ζ ὥσπερ γὰρ ἀπὸ τῆς ἐγκαρσίου διαγωνοῦ, ἡ ὄρθιος δήλη ἡμῖν γίνεται, οὕτως καὶ ἀπὸ τῆς ὀρθίου, ἡ ἐγκάρσιος γνώριμος ἡμῖν γίνεται. Ὅσαι δὲ σπιθαμαὶ εἰσὶ ἀπὸ τῆς ἄνωθεν γωνίας μέχρι τοῦ μέσου τῆς ἐγκαρσίου διαγωνοῦ, τοσούτων σπιθαμῶν ἐστὶ καὶ ἡ τοῦ κύκλου διάμετρος. Ἐστὶ δὲ ἀπὸ τῆς ἄνωθεν ὀρθίου γωνίας μέχρι τοῦ μέσου τῆς ἐγκαρσίου διαγωνοῦ τῶν ζ σπιθαμῶν, σπιθαμαὶ ς καὶ α/ις μιᾶς σπιθαμῆς. Ἐστὶ δὲ καὶ ἡ διάμετρος τοῦ κύκλου, σπιθαμῶν ς καὶ α/ις μιᾶς σπιθαμῆς. Ἀπὸ δὲ τῆς διαμέτρου τοῦ κύκλου, καὶ ἡ τούτου περίμετρος γνώριμος γίνεται.

Ὡσαύτως δὲ καὶ πᾶν (15) τούτου ὅμοιον ζήτημαν, ὅπερ ἐστὶ ἡ ἐγκάρσιος διαγώνιος τοῦ ρόμβου ἰσάριθμος μετὰ τῶν τούτου πλευρῶν, ἔχεις εἰδέναι ἀπὸ τῆς ἐγκαρσίου διαγωνοῦ τὴν ὄρθιον διαγώνιον, ἀπὸ δὲ τῆς ὀρθίου τὴν ἐγκάρσιον, διὰ τοῦ κανόνος τῆς σκάδρας. Ὅση δὲ ἐστὶ ἡ ὄρθιος διαγώνιος ἡ ἀπὸ τῆς ἄνωθεν ὀρθίου γωνίας μέχρι τοῦ μέσου τῆς ἐγκαρσίου διαγωνοῦ, τοσούτων σπιθαμῶν καὶ ἡ τοῦ ἐντὸς τεθημένου κύκλου διάμετρος. Ἀπὸ δὲ τῆς διαμέτρου τοῦ κύκλου καὶ ἡ τούτου περίμετρος γνώριμος γίνεται.

ροδ΄ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς κύκλου τεθῆναι σχῆμα τρίγωνον, καὶ εἰδέναι ἀπὸ τῆς τοῦ κύκλου διαμέτρου, τὴν τοῦ τριγώνου κάθετον. Ἀπὸ δὲ τῆς τοῦ τριγώνου καθέτου, εἰδέναι ἑκάστη πλευρὰ τοῦ τριγώνου.

Ἔστω τις κύκλος ὅστις ἐστὶ ἡ διάμετρος αὐτοῦ (20) σπιθαμῶν ιβ, τεθημένου δὲ ἐντὸς τοῦ τοιούτου κύκλου, τρίγωνον σχῆμα ἰσόπλευρον, κατὰ τὸ ἐγχωροῦν μεῖζον μέγεθος, ζητεῖς δὲ εἰδέναι πόσων σπιθαμῶν ἐστὶ ἡ κάθετος τοῦ τριγώνου. Ἐπεὶ γὰρ τοῦ τριγώνου οὐ λέγεται διάμετρος ἀλλὰ κάθετος. Ἀπὸ δὲ τῆς καθέτου τοῦ τριγώνου ἔχεις εἰδέναι καὶ ἑκάστην πλευρὰν τοῦ τριγώνου.

Εὑρίσκονταί δε ταῦτα οὕτως: Λαβὲ γ/δ τῆς διαμέτρου τοῦ κύκλου ἥτις ἐστὶ ὡς εἴπομεν ιβ σπιθαμῶν. Τὰ δὲ γ/δ τῶν ιβ σπιθαμῶν ἐστὶ θ. Ἐστὶ δὲ καὶ ἡ κάθετος τοῦ τριγώνου σπιθαμῶν θ.

Πολλαπλασίασόν δε εἰς ἑαυτὴ τὴν κάθετον τοῦ τριγώνου· θ-κις οὖν θ γίνονται πα. Πρόσθες καὶ α/γ (25) τῶν πα. Τὸ δὲ α/γ τῶν πα ἐστὶ κζ· κζ δὲ καὶ πα ὁμοῦ γίνονται ρη. Ζήτει τὴν ρίζαν τῶν ρη ἥτις ἐστὶ ι καὶ ζ/ιη. Ἑκάστη οὖν πλευρὰ τοῦ τριγώνου ἐστὶ ι καὶ ζ/ιη ἔγγιστα.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν τὰ γ/δ τῆς διαμέτρου τοῦ κύκλου ἐστὶ ἡ κάθετος τοῦ τριγώνου, πολλαπλασίασόν δε τὴν κάθετον τοῦ τριγώνου εἰς ἑαυτή. Πρόσθες καὶ α/γ τοῦ γεγονότος πολλαπλασιασμοῦ, καὶ ὅση ἐστὶ ἡ ρίζα τῆς ὁμάδος τούτων, τοσούτων σπιθαμῶν ἐστὶ καὶ ἑκάστη πλευρὰ τοῦ ἐντὸς τοῦ κύκλου τεθημένου τριγώνου σχήματος.

ροε´ Περὶ τοῦ πῶς ἐστὶ ἐκ τῆς πλευρᾶς τοῦ τριγώνου εἰδέναι τὴν τοῦ κύκλου κάθετον.

Ἔστω ὅτι εἶδας μὲν τὴν πλευρὰν τοῦ τριγώνου, οὖσαν σπιθαμῶν ι καὶ ζ/ιη μιᾶς σπιθαμῆς. (30) Ζητεῖς δὲ εἰδέναι πόσων σπιθαμῶν ἐστὶ ἡ τοῦ τριγώνου κάθετος. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως: Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν πλευρὰν τοῦ τριγώνου ἥτις ἐστὶ ὡς εἴπομεν σπιθαμῶν ι καὶ ζ/ιη. Ταῦτα δὲ εἰς ἑαυτὰ τεχνικῶς πολλαπλασιαζόμενα, πολλαπλασιάζοσιν κορυφὴν ρη. Ζήτει τὸ α/δ μέρος τῶν ρη ὅπερ ἐστὶ κζ. Ἄφελε τὰ κζ ἐκ τῶν ρη καὶ ἀπομένοσιν πα.

Καὶ ἄλλως: Λαβὲ γ/δ τῶν ρη ἅπερ ἐστὶ πα. Ταυτὸν γὰρ ἐστὶ ἀφελεῖν α/δ ἐκ τῶν ρη καὶ λαβεῖν γ/δ τῶν ρη, καὶ ἑτέρου παντὸς ἀριθμοῦ.

Ζήτει τὴν ρίζαν τῶν πα ἥτις ἐστὶ θ· θ-κις γὰρ θ γίνονται πα. Καὶ ἰδοὺ εὗρες ἐκ τῆς πλευρᾶς ὅτι ἡ κάθετος τοῦ τριγώνου ἐστὶ σπιθαμῶν θ, καθὼς εὗρες ἐκ τῆς καθέτου τῶν θ σπιθαμῶν ὅτι ἡ πλευρὰ (35) ἐστὶ σπιθαμῶν ι καὶ ζ/ιη. Εἰ δὲ καὶ τὴν διάμετρον τοῦ κύκλου ζητῆς εἰδέναι ἐκ τῆς καθέτου τοῦ τριγώνου, πρόσθες τὸ α/γ μέρος τῆς καθέτου τοῦ τριγώνου, τουτέστι τῶν θ σπιθαμῶν· θ οὖν καὶ τὸ α/γ τῶν θ ὅπερ ἐστὶ γ, ὁμοῦ γίνονται ιβ. Ἐστὶ δὲ ἡ διάμετρος τοῦ κύκλου σπιθαμῶν ιβ.

(100β)(1) Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν, τοῦ ἐντὸς κύκλου τεθημένου τριγώνου, ἔχεις εἰδέναι διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως, ἀπὸ μὲν τῆς διαμέτρου τοῦ κύκλου καὶ τὴν τοῦ τριγώνου κάθετον, ἀπὸ δὲ τῆς καθέτου τοῦ τριγώνου, τὴν τοῦ τριγώνου πλευράν. Καὶ τὸ ἀνάπαλιν: Ἀπὸ τῆς τοῦ τριγώνου πλευρᾶς ἔχεις εἰδέναι τὴν τοῦ τριγώνου κάθετον, ἀπὸ δὲ τῆς καθέτου τοῦ τριγώνου, τὴν τοῦ κύκλου διάμετρον.

ρος´ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς τριγώνου σχήματος κύκλος τεθῆναι καὶ εἰδέναι ἀπὸ τῆς τοῦ τριγώνου πλευρᾶς τὴν τοῦ κύκλου διάμετρον καὶ περίμετρον.

Ἔστω τρίγωνον σχῆμα ἰσόπλευρον, ὅπερ ἐφ' ἑκάστης πλευρᾶς ἐστὶ σπιθαμῶν δ. Τεθημένου δὲ κύκλου ἐντός, κατὰ τὸ ἐγχωροῦν μεῖζον μέγεθος, ζητεῖς εἰδέναι ἀπὸ τῆς τοῦ τριγώνου πλευρᾶς τὴν τοῦ κύκλου διάμετρον καὶ περίμετρον, πόσων σπιθαμῶν ἐστί. Ἔχεις δὲ ταῦτα εἰδέναι οὕτως:

Ζήτει πρῶτον τὴν διάμετρον τοῦ τριγώνου πόσων σπιθαμῶν ἐστί, καθὼς οὖν εἴπομεν ἐκ τῆς πλευρᾶς τοῦ τριγώνου εἰδέναι τὴν τούτου κάθετον. Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν τοῦ τριγώνου πλευρὰν ἥτις ὡς εἴπομεν ἐστὶ σπιθαμῶν δ· δ-κις οὖν δ γίνονται ις. Ἄφελε α/δ τῶν ις, τουτέστι δ, καὶ ἀπομένοσιν ιβ.

Καὶ ἄλλως: Λαβὲ γ/δ τῶν ις ἅπερ ἐστὶ πάλιν ιβ. Ζήτει τὴν ρίζαν τῶν ιβ ἥτις ἐστὶ γ καὶ η/ιζ ἔγγιστα. Ἐστὶ δὲ καὶ ἡ κάθετος τοῦ τριγώνου, σπιθαμῶν γ καὶ η/ιζ ἔγγιστα μιᾶς σπιθαμῆς. Λαβὲ β/γ τῶν γ καὶ η/ιζ, καὶ τὰ μὲν β/γ τῶν γ ἐστὶ β, τὰ δὲ β/γ τῶν η/ιζ ταυτόν δ' εἰπεῖν τῶν κδ/να, ἐστὶ ις/να. Ἕνωσον ταῦτα μετὰ τῶν β καὶ γίνονται β καὶ ις/να. Ἐστὶ δὲ τὰ β/γ τῶν γ καὶ η/ιζ, β καὶ ις/να. Ἐστὶ δὲ καὶ ἡ τοῦ κύκλου διάμετρος σπιθαμῶν β καὶ ις/να, τουτέστι β καὶ α/γ ἔγγιστα μιᾶς σπιθαμῆς. Ἀπὸ δὲ τῆς διαμέτρου τοῦ κύκλου ἔχεις εἰδέναι καὶ τὴν τούτου περίμετρον.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν τὸ ἐντὸς τριγώνου τεθημένου κύκλου, διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

ροζ´ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς τριγώνου σχήματος τεθῆναι τετράγωνον καὶ εἰδέναι πόσων σπιθαμῶν ἐστὶ ἡ τοῦ τετραγώνου πλευρά.

Ἔστω τρίγωνον σχῆμα ἰσόπλευρον ὅπερ ἐστὶ ἑκάστη τούτου πλευρὰ σπιθαμῶν ι, τεθημένου δὲ ἐντός του τετράγωνον σχῆμα ἰσόπλευρον κατὰ τὸ ἐγχωροῦν μεῖζον μέγεθος, ζητεῖς εἰδέναι ἐκ τῆς τοῦ τριγώνου πλευρᾶς καὶ ἑκάστη πλευρὰ τοῦ τετραγώνου πόσων σπιθαμῶν ἐστί. Ἔχεις οὖν τοῦτο εἰδέναι οὕτως: Πολλαπλασίασον καὶ ἐνταῦτα εἰς ἑαυτὴ τὴν μίαν πλευρὰν τοῦ τριγώνου σχήματος· ι-κις οὖν ι γίνονται ρ. Λαβὲ δὲ καὶ ἐνταῦτα γ/δ τῶν ρ ἅπερ ἐστὶ οε. Πολλαπλασίασον τὰ οε (20) μετὰ τῶν ις· ις-κις οὖν οε γίνονται ἅσ. Πολλαπλασίασον τὰ οε καὶ μετὰ τῶν ιβ· ιβ-κις οὖν οε γίνονται ϡ. Ζήτει τὴν ρίζαν τῶν ͵ασ· λδ καὶ ιβ/ιθ. Ζήτει δὲ καὶ τὴν ρίζαν τῶν ϡ ἥτις ἐστὶ λ. Ἄφελε τὰ λ ἐκ τῶν λδ καὶ ιβ/ιθ καὶ ἀπομένοσιν δ καὶ ιβ/ιθ. Ἐστὶ δὲ ἑκάστη πλευρὰ τοῦ τετραγώνου σπιθαμῶν δ καὶ ιβ/ιθ μιᾶς σπιθαμῆς.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν τὸ ἐντὸς τριγώνου τεθήμενον σχῆμα τετράγωνον, πολλαπλασίασον εἰς ἑαυτὴ τὴν μίαν πλευρὰν τοῦ τριγώνου, λαβὲ δὲ καὶ γ/δ τοῦ ἐκ ταύτης γεγονότος πολλαπλασιασμοῦ, καὶ ὅσα ἐστὶ τὰ γ/δ τοῦ γεγονότος πολλαπλασιασμοῦ, πολλαπλασίασον ταῦτα, πρῶτον μὲν μετὰ τῶν ις, εἶθ' οὕτως μετὰ τῶν ιβ. (25)

Ζήτει δὲ διηρημένως ἑκάστου ρίζαν τῶν δύο τούτων γεγονότων πολλαπλασιασμῶν. Ἄφελέ δε τὴν ἐλάττονα ρίζαν ἐκ τῆς μείζονος, καὶ ὅσον ἐστὶ τὸ ἐναπομένον μέρος τῆς μείζονος ρίζης, τοσούτων σπιθαμῶν ἐστὶ καὶ ἑκάστη πλευρὰ τοῦ ζητουμένου τετραγωνοῦ, τοῦ ἐντὸς τοῦ τριγωνοῦ τεθημένου σχήματος.

ροη΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι ἀπὸ τοῦ κέντρου τοῦ τριγωνοῦ, μέχρι ἑκάστης γωνίας πόσων σπιθαμῶν ἐστί.

Ἔστω τρίγωνον σχῆμα ἰσόπλευρον, ὅπερ ἑκάστη τούτου πλευρὰ ἐστὶ σπιθαμῶν ι. Ζητεῖς δὲ εἰδέναι, ἀπὸ τοῦ κέντρου μέχρι ἑκάστης γωνίας πόσων σπιθαμῶν ἐστί. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

Πολλαπλασίασον καὶ ἐνταῦτα εἰς ἑαυτὴ τὴν μίαν πλευρὰν τοῦ τριγωνοῦ ἥτις ἐστὶ σπιθαμῶν ι· ι-κις οὖν ι γίνονται ρ. Λαβὲ α/γ τῶν ρ (30) ὅπερ ἐστὶ λγ καὶ α/γ. Ζήτει τὴν ρίζαν τῶν λγ καὶ α/γ ἥτις ἐστὶ ε καὶ ιδ/ιη. Τὰ γὰρ ε καὶ ιδ/ιη εἰς ἑαυτὰ τεχνικῶς πολλαπλασιαζόμενα, πολλαπλασιάζοσιν λγ καὶ α/γ βραχύ τι πλείω.

Ἐστὶ δὲ ἀπὸ τοῦ κέντρου τοῦ τριγωνοῦ, μέχρι ἑκάστης γωνίας, τῶν τριῶν, ἡ ρίζα τῶν λγ καὶ α/γ ἥτις ἐστὶ ὡς εἴπομεν σπιθαμαὶ ε καὶ ιδ/ιη μιᾶς σπιθαμῆς. Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν. Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν μίαν πλευρὰν τοῦ ζητουμένου τριγωνοῦ σχήματος. Λαβὲ δὲ τὸ α/γ μέρος τοῦ γεγονότος πολλαπλασιασμοῦ καὶ ὅση ἐστὶ ἡ ρίζα τοῦ τρίτου μέρους οὗ ἔλαβες ἐκ τοῦ γεγονότος πολλαπλασιασμοῦ, τασαῦται σπιθαμαὶ εἰσὶ ἀπὸ τοῦ κέντρου (35) μέχρι ἑκάστης γωνίας τῶν τριῶν.

ροθ΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι σκαληνοῦ σχήματος, τοῦ ἐκ τετραγώνου ἔχοντος δύο πλευράς, πόσων σπιθαμῶν ἐστὶ ἑκάστη τούτου πλευρά. Εἰδέναι δὲ καὶ τὴν ἐντὸς τούτου τεθημένου κύκλου διάμετρον καὶ περίμετρον.

Ἔστω σχῆμα τρίγωνον (101α)(1) ἀνίσους ἔχον πλευράς, ὅπερ εἰώθαμεν λέγειν σκαληνόν. Πᾶν γὰρ τρίγωνον τὸ τὰς τρεῖς ἀνίσους ἔχον πλευράς, σκαληνὸν λέγεται. Ἔστωσάν δε αἱ δύο τούτου πλευραὶ ἐκ τοῦ τετραγώνου ὀρθογωνοῦ σχήματος συντεθήμεναι. Ἔστω δὲ ἡ μὲν ὄρθιος τούτου πλευρά, σπιθαμῶν δ, ἡ δὲ ἐγκάρσιος σπιθαμῶν γ. Ἡ δὲ ὑποκλίνουσα ὄρθιος, σπιθαμῶν ε. Ζητεῖς δὲ εἰδέναι ἑκάστη πλευρὰ τούτου πόσων σπιθαμῶν ἐστί. Τεθημένου δὲ κύκλου ἐντός, κατὰ τὸ ἐγχωροῦν μεῖζον μέγεθος, ζητεῖς εἰδέναι καὶ τὴν τοῦ κύκλου διάμετρον καὶ περίμετρον. Ἔχεις δὲ ταῦτα εἰδέναι οὕτως:

Ἔστω ὅτι ζητεῖς εἰδέναι τὴν ἀποκλίνουσαν μείζονα πλευρά, πόσων σπιθαμῶν ἐστί. Ἔχεις οὖν εἰδέναι τὴν ἀποκλίνουσαν μείζονα πλευρά, ἐκ τῆς ἐγκαρσίου καὶ ὀρθίου πλευρᾶς τῶν γ καὶ δ σπιθαμῶν, διὰ τοῦ κανόνος τῆς σκάδρας, οὗ εἴπομεν ἐπὶ τοῦ ρογ^{ου} κεφαλαίου. Πολλαπλασίασον γὰρ εἰς ἑαυτὴ τὴν ἐγκάρσιον πλευρὰν τῶν γ σπιθαμῶν· γ-ὶς οὖν γ γίνονται θ. Πολλαπλασίασον εἰς ἑαυτὴ καὶ τὴν ὄρθιον πλευρὰν τῶν δ σπιθαμῶν· δ-κις οὖν δ γίνονται ις.

Ἐπεὶ ἡ ἀποκλίνουσα ἐστὶ μείζονα τῆς ἐγκαρσίου καὶ ὀρθίας πλευρᾶς, ἕνωσον τὸν πολλαπλασιασμὸν τῆς ἐγκαρσίου καὶ ὀρθίου πλευρᾶς, τουτέστι τὰ θ καὶ ις καὶ γίνονται ὁμοῦ κε. Ζήτει τὴν ρίζαν τῶν κε ἥτις ἐστὶ ε· ε-κις γὰρ ε, κε γίνονται. Ἐστὶ δὲ ἡ ἀποκλίνουσα μείζονα πλευρά, σπιθαμῶν ε.

Ἔστω δὲ ὅτι ζητεῖς εἰδέναι τὴν ὄρθιον πλευρὰν πόσων σπιθαμῶν ἐστί. Πολλαπλασίασον τὴν ἀποκλίνουσαν μείζονα πλευρὰν τῶν ε σπιθαμῶν εἰς ἑαυτή· ε-κις οὖν ε γίνονται κε. Πολλαπλασίασον καὶ τὴν ἐγκάρσιον πλευρὰν τῶν γ σπιθαμῶν εἰς ἑαυτή· γ-ὶς οὖν γ γίνονται θ. Ἄφελε τὸν ἐλάττονα πολλαπλασιασμὸν ἐκ τὸν μείζονα, τουτέστι τὰ θ ἐκ τῶν κε καὶ ἀπομένοσιν ις. Ζήτει τὴν ρίζαν τῶν ις ἥτις ἐστὶ δ· δ-κις γὰρ δ γίνονται ις. Ἐστὶ δὲ ἡ ὄρθιος πλευρὰ σπιθαμῶν δ.

Ἔστω δὲ ὅτι ζητεῖς εἰδέναι τὴν ἐγκάρσιον πλευρὰν πόσων σπιθαμῶν ἐστί. Πολλαπλασίασον τὴν ἀποκλίνουσαν μείζονα πλευρὰν τῶν ε σπιθαμῶν εἰς ἑαυτή· ε-κις οὖν ε γίνονται κε. Πολλαπλασίασον καὶ τὴν ὄρθιον πλευρὰν τῶν δ σπιθαμῶν εἰς ἑαυτή· δ-κις οὖν δ γίνονται ις. Ἄφελε τὸν ἐλάττονα πολλαπλασιασμὸν ἐκ τὸν μείζονα, τουτέστι τὰ ις ἐκ τῶν κε καὶ ἀπομένοσιν θ. Ζήτει τὴν ρίζαν τῶν θ ἥτις ἐστὶ γ· γ-ὶς γὰρ γ γίνονται θ. Ἐστὶ δὲ ἡ ἐγκάρσιος πλευρά, σπιθαμῶν γ. Καὶ ἰδοὺ τῷ τρόπῳ τούτῳ, αἱ δύο πλευραί, δήλην ἡμῖν ποιοῦσιν τὴν τρίτον πλευρὰν ἐναλλάξ, πόσων σπιθαμῶν ἐστὶ ἑκάστη πλευρὰ τοῦ σκαληνοῦ τριγωνοῦ σχήματος.

Ἐπεὶ δὲ ζητεῖς εἰδέναι καὶ τὴν ἐντὸς τεθημένου διάμετρον καὶ περίμετρον, ἕνωσον τὰς ἐλάττονας δύο τούτου πλευρὰς τῶν γ καὶ δ σπιθαμῶν δηλονότι, καὶ γίνονται ὁμοῦ σπιθαμαὶ ζ. Ἄφελε ἐξ' αὐτῶν τὴν τρίτη μείζονα πλευρὰν τῶν ε σπιθαμῶν καὶ ἀπομένοσιν σπιθαμαὶ β. Ἐστὶ δὲ ἡ διάμετρος τοῦ κύκλου σπιθαμῶν β. Ἀπὸ δὲ τῆς διαμέτρου, καὶ ἡ τούτου περίμετρος γνώριμος γίνεται.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν σκαληνοῦ ἔχοντας δύο τούτου πλευρὰς ἐκ τοῦ τετραγωνοῦ σχήματος συντεθημένας, διὰ τῆς παρούσης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς, ἅπερ νῦν δεδηλώκαμεν ἐπὶ τοῦ παρόντος ζητήματος.

ρπ´ Περὶ τοῦ πῶς ἐστὶ ἐντὸς τοῦ τοιούτου σκαληνοῦ σχήματος τετράγωνον τεθῆναι, καὶ εἰδέναι ἀπὸ τῶν τοῦ σκαληνοῦ πλευρῶν, ἑκάστης πλευρᾶς τοῦ τετραγωνοῦ πόσων σπιθαμῶν ἐστί.

Ἔστω τὸ αὐτὸν σκαληνὸν σχῆμαν, ὅπερ ἡ μὲν μείζονα αὐτοῦ πλευρὰ ἐστὶ σπιθαμῶν ε, ἡ δὲ ἐλάττω, τριῶν, ἡ δὲ ἀνάμεσον τούτων, δ, καθὼς οὕτως καὶ ἐπὶ τοῦ πρώτου εἴπομεν. Τεθημένου δὲ ἐντὸς τούτου τετράγωνον σχῆμα ἰσόπλευρον, κατὰ τὸ ἐγχωροῦν μεῖζον μέγεθος, ζητεῖς εἰδέναι ἑκάστη πλευρὰ τοῦ τετραγωνοῦ πόσων σπιθαμῶν ἐστί. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

Πολλαπλασίασον πρὸς ἄλληλας τὰς δύο ἐλάττονας πλευρὰς τῶν γ καὶ δ σπιθαμῶν· δ-κις οὖν γ γίνονται ιβ. Ἕνωσον τὰς δύο ταῦτας ἐλάττονας πλευρὰς τῶν γ καὶ δ σπιθαμῶν καὶ γίνονται ὁμοῦ σπιθαμαὶ ζ.

Μέρισον τὰς (30) ιβ σπιθαμὰς μετὰ τῶν ζ, καὶ γίνεται ὁ τούτων διαμερισμὸς α καὶ ε/ζ. Ἐστὶ δὲ ἑκάστη πλευρὰ τοῦ τετραγωνοῦ, σπιθαμὴ α καὶ ε/ζ μιᾶς σπιθαμῆς.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον, διὰ τῆς ὁμοίας μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

ρπα΄ Περὶ τοῦ πῶς ἐστὶ ἐκ τῶν πλευρῶν, τὴν διαγώνιον εὐθείαν γραμμὴν εἰδεῖν τοῦ τετραγωνοῦ, καὶ τὸ ἀνάπαλιν.

Ἔστω τετράγωνον σχῆμα ἰσόπλευρον, ἐφ’ ἑκάστης πλευρᾶς σπιθαμῶν ε. Γενομένης δὲ εὐθείας γραμμῆς ἀπὸ γωνίας εἰς γωνίαν, ζητεῖς εἰδέναι ταύτην τὴν διαγώνιον εὐθείαν γραμμὴν πόσων σπιθαμῶν ἐστί. Ἔχεις οὖν ταύτη εἰδέναι διὰ τοῦ κανόνος τῆς σκάδρας, οὗ εἴπομεν ἐν τῷ ρπθῳ (35) κεφαλαίῳ.

Πολλαπλασίασον γὰρ εἰς ἑαυτὴν τὴν ὄρθιον πλευρὰν τῶν ε σπιθαμῶν· ε-κις οὖν ε γίνονται κε. Πολλαπλασίασον εἰς ἑαυτὴν καὶ ἐγκάρσιον πλευρὰν τῶν ε σπιθαμῶν· ε-κις οὖν ε γίνονται κε. Καὶ ἐπὶ ἡ διαγώνιος ἐστὶ μείζονα, ἕνωσον τοὺς πολλαπλασιασμοὺς τῶν δύο πλευρῶν (101β)(1) τὰ κε καὶ κε δηλονότι, καὶ γίνονται ν. Ζήτει τὴν ρίζαν τῶν ν ἥτις ἐστὶ ζ καὶ α/ιδ. Ἐστὶ δὲ ἡ διαγώνιος εὐθεία γραμμὴ σπιθαμῶν ζ καὶ α/ιδ μιᾶς σπιθαμῆς.

Καὶ τὸ ἀνάπαλιν: Ἔστω οἶδας τὴν μὲν διαγώνιον, οὖσαν σπιθαμῶν ζ καὶ α/ιδ, τὴν δὲ ὄρθιον σπιθαμῶν ε. Ζητεῖς δὲ εἰδέναι καὶ τὴν ἐγκάρσιον πόσων σπιθαμῶν ἐστί. Πολλαπλασίασον τὴν διαγώνιον εἰς ἑαυτή, ἥτις ἐστὶ σπιθαμῶν ζ καὶ α/ιδ καὶ γίνεται ὁ τούτων πολλαπλασιασμὸς ν. Πολλαπλασίασον καὶ τὴν ὄρθιον τῶν ε σπιθαμῶν εἰς ἑαυτή· ε-κις οὖν ε γίνονται κε. Ἄφελε τὸν ἐλάττονα πολλαπλασιασμὸν ἐκ τὸν πλείονα, τουτέστι ἄφελε τὰ κε ἐκ τῶν ν καὶ (5) ἀπομένοσιν κε. Ζήτει τὴν ρίζαν τῶν κε ἥτις ἐστὶ ε. Ἐστὶ δὲ ἡ ἐγκάρσιος πλευρὰ σπιθαμῶν ε. Ὥσπερ γὰρ ἀπὸ τῆς ὀρθίου καὶ ἐγκαρσίου, ἡ διαγώνιος δήλη γίνεται, οὕτως καὶ τὸ ἀνάπαλιν, ἀπὸ τῆς διαγωνίου εὐθείας γραμμῆς καὶ τῆς ὀρθίου πλευρᾶς, γίνεται γνώριμος ἡ ἐγκάρσιος πλευρά, ὡσαύτως καὶ ἀπὸ τῆς διαγωνίου καὶ ἐγκαρσίου, γίνεται γνώριμος ἡ ὄρθιος πλευρά. Μὴ μόνον γὰρ ἐπὶ τετραγωνοῦ ἰσοπλεύρου γίνεται τοῦτο, ἀλλὰ πολλῷ μᾶλλον καὶ ἐπὶ ἑτέρου ἀνίσου τετραγωνοῦ σχήματος. Τὸ γὰρ ἰσόπλευρον, τὴν διαγώνιον μόνον οὐκ ἔχει γνώριμον, αἱ δὲ τούτου πλευραὶ ἀπὸ μιᾶς μόνης πλευρᾶς, καὶ αἱ λοιπαὶ γνώριμοι γίνονται.

Ἵνα δὲ γένηται σαφέστερον τὸ λεγόμενον, ἔστω τὸ παρὸν σχῆμα ὅπερ (10) λέγεται παραλληλόγραμμον ὀρθογώνιον. Ἐστὶ γὰρ γενέσθαι παραλληλόγραμμον μέν, οὐκ ὀρθογώνιον δέ, ὡς τὸ παρὸν σχῆμα ὅπερ εἰώθαμεν καλεῖν ρομβοειδές. Ὁ γὰρ ρόμβος ἔχει σχῆμα τοιοῦτον: καθὼς ἐπὶ τοῦ ρόμβου κεφαλαίου εἴπομεν. Ἔστωσάν δε, αἱ μὲν δύο ἐγκάρσιαι τούτου πλευραί, ἀνὰ η σπιθαμῶν. Αἱ δὲ δύο ὄρθιαι ἀνὰ ς σπιθαμῶν. Ζητεῖς δὲ εἰδέναι τὴν διαγώνιον εἰθείαν γραμμὴν πόσων σπιθαμῶν ἐστί. Ἔχεις δὲ ταύτη εἰδέναι διὰ τοῦ κανόνος τῆς σκάδρας.

Πολλαπλασίασον τὴν ἐγκάρσιον πλευρὰν τῶν η σπιθαμῶν εἰς ἑαυτή· η-κις οὖν η γίνονται ξδ. Πολλαπλασίασον καὶ τὴν ὄρθιον πλευρὰν τῶν ς σπιθαμῶν εἰς ἑαυτή· (15) ς-κις οὖν ς γίνονται λς. Ἐπεὶ γ’ οὖν ἡ διαγώνιος ἐστὶ μείζονα τῶν η καὶ ς σπιθαμῶν τῶν δύο πλευρῶν, ἕνωσον τὰ ξδ καὶ λς καὶ γίνονται ὁμοῦ ρ. Ζήτει τὴν ρίζαν τῶν ρ ἥτις ἐστὶ ι. Ἐστὶ δὲ καὶ ἡ διαγώνιος εὐθεία γραμμή, σπιθαμῶν ι.

Ἔστω δὲ ὅτι ζητεῖς εἰδέναι τὴν ἄνωθεν ἢ κάτωθεν ἐγκάρσιον τούτου τετραγώνου πλευράν, πόσων σπιθαμῶν ἐστί. Πολλαπλασίασον τὴν διαγώνιον εὐθείαν γραμμὴν τῶν ι σπιθαμῶν εἰς ἑαυτή· ι-κις οὖν ι γίνονται ρ. Πολλαπλασίασον καὶ τὴν ὄρθιον πλευρὰν τῶν ϛ σπιθαμῶν εἰς ἑαυτή· ϛ-κις οὖν ϛ γίνονται λϛ. Ἄφελε τὰ λϛ ἐκ τῶν ρ καὶ ἀπομένοσιν ξδ. Ζήτει τὴν ρίζαν τῶν ξδ ἥτις ἐστὶ η· η-κις γὰρ η ξδ γίνονται. Ἐστὶ δὲ ἡ ἄνωθεν καὶ ἡ κάτωθεν ἐγκάρσιος πλευρά, σπιθαμῶν η.

Ἔστω δὲ ὅτι ζητεῖς εἰδέναι, ἑκατέρα τῶν (20) δύο ὀρθίων πλευρῶν, πόσων σπιθαμῶν ἐστί. Πολλαπλασίασον τὴν διαγώνιον εἰθείαν γραμμὴν τῶν ι σπιθαμῶν εἰς ἑαυτή· ι-κις οὖν ι γίνονται ρ. Πολλαπλασίασον καὶ τὴν ἐγκάρσιον πλευρὰν τῶν η σπιθαμῶν εἰς ἑαυτή· η-κις οὖν η γίνονται ξδ. Ἄφελε τὰ ξδ ἐκ τῶν ρ καὶ ἀπομένοσιν λϛ.

Ἐστὶ δὲ ἑκάστη ὄρθιος πλευρά, ἡ ρίζα τῶν λϛ ἥτις ἐστὶ ϛ· ϛ-κις γὰρ ϛ, λϛ γίνονται. Καθὼς γὰρ εἴπομεν, ἐκ τῶν πλευρῶν εὑρίσκεται ἡ διαγώνιος, ἀπὸ δὲ τῆς διαγωνίου εὑρίσκονται αἱ πλευραί.

ρπβʹ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι κάθετον τριγωνοῦ σκαληνοῦ σχήματος πόσων σπιθαμῶν ἐστί.

Ἔστω τρίγωνον σχῆμαν ἀνίσους ἔχον πλευράς, ὅπερ σκαληνὸν λέγεται. Πᾶν γὰρ τρίγωνον τὸ τὰς τρεῖς ἀνίσους ἔχον πλευράς, σκαληνὸν λέγεται, ὡς εἴπομεν καὶ ἐπὶ τοῦ ροθου κεφαλαίου. Ἔστω δὲ ἡ (25) μὲν μία τούτου πλευρὰ σπιθαμῶν ιδ, ἡ δὲ ἑτέρα ιε, ἡ δὲ τρίτη ιϛ.

Γενομένης δὲ καθέτου εὐθείας γραμμῆς ἀπὸ τῆς ἀμφογωνίας τῆς μείζονος καὶ ἐλάττονος πλευρᾶς τῶν ιϛ καὶ ιδ σπιθαμῶν, μέχρι τῆς ἐγκαρσίου πλευρᾶς τῶν ιε σπιθαμῶν, ὥστε, τέμνειν τὸ σκαληνὸν τοῦτο σῶμα δίχα ἐν ἴσῳ τμήματι ἑκατέρων τῶν δύο μερῶν, ζητεῖς εἰδέναι τὴν κάθετον ταύτην εὐθείαν γραμμήν, πόσων σπιθαμῶν ἐστί, καὶ ἐμ ποίῳ τόπῳ δεῖ περαιῶσαι ταύτη κατὰ πλάτος ἐπὶ τῆς ἐγκαρσίου πλευρᾶς ὥστε τέμνειν τὰς δύο ἀνίσους πλευρὰς τῶν ιϛ καὶ ιδ σπιθαμῶν ἐν ἴσῳ τμήματι ἐφ᾽ ἑκατέρων (30) τῶν δύο μερῶν. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:



Λαβὲ τὸ ἥμισυ τῆς μείζονος πλευρᾶς τῶν ις σπιθαμῶν ὅπερ ἐστὶ σπιθαμαὶ η. Ἄρξου δὲ ἀπὸ τῆς ἀμφογωνίας τῶν ις καὶ ιε σπιθαμῶν καὶ λαβὲ σπιθαμὰς η, κακεῖσε τὸ πέρας τῆς καθέτου εὐθείας γραμμῆς ποίησον, ἀρξάμενος μὲν ἀπὸ τῆς ἀμφογωνίας τῶν δύο πλευρῶν τῶν ις καὶ ιδ σπιθαμῶν, περαιώσας δὲ ταύτη, ἐπὶ τῆς ἐγκαρσίου πλευρᾶς τῶν ιε σπιθαμῶν ἐν τῇ στιγμῇ τῶν η σπιθαμῶν. Οὕτω δὲ γενομένης τῆς καθέτου εὐθείας γραμμῆς, τέμνει τὰς δύο ἀνίσους πλευρὰς τῶν ις καὶ ιδ σπιθαμῶν ἐν ἴσῳ τμήματι ἐφ' ἑκατέρων τῶν δύο πλευρῶν.

Εἰ δὲ τὸ πέρας ταύτης ἐγένετο ἐπὶ τοῦ μέσου τῆς πλευρᾶς τῶν ιε σπιθαμῶν, τουτέστι οὐκ ἐπὶ τῶν η σπιθαμῶν ὧν εἴπομεν, (35) ἀλλ' ἐπὶ τῶν ζ α/β, τοῦτο γὰρ ἐστὶ τὸ μέσον τῶν ιε, οὐκ ἂν ἔτεμεν ἡ κάθετος εὐθεία γραμμὴ τὰς δύο ἀνίσους πλευρὰς τῶν ις καὶ ιδ σπιθαμῶν ἐν ἴσῳ τμήματι ἐφ' ἑκατέρων τῶν δύο πλευρῶν, ἀλλὰ τὸ μὲν ἔτεμεν ἐπὶ μεῖζον, τὸ δὲ ἐπ' ἔλαττω, μὴ μόνον δὲ διὰ τοῦτο, ἄτοπόν τε καὶ ἄχρηστον, (102α)(1) ἀλλὰ καὶ ἐπὶ ἄλλων τινων ζητημάτων, ὧν εἰπεῖν ἐπὶ τοῦ παρόντος ζητήματος ἔχομεν, ἄχρηστον, εὑρεθήσεται τὸ πέρας τῆς καθέτου εὐθείας γραμμῆς ἐπὶ τοῦ μέσου τῶν ιε σπιθαμῶν γενόμενον.

Οὕτω δὲ γενόμενον ὡς εἴπομεν ἐπὶ τῶν η σπιθαμῶν, τὸ κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς, καὶ ἀληθὲς καὶ χρήσιμον εὑρεθήσεται ἐφ' ὧν εἰπεῖν ἔχομεν, καθὼς διὰ τῆς πείρας ὁδῷ προβένων γενήσεται γνώριμον τὸ λεγόμενον. Καὶ ταῦτα μὲν περὶ τὸ κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς, περὶ δὲ τὸ πόσων σπιθαμῶν ἐστὶ κατὰ μῆκος ἡ κάθετος εὐθεία γραμμή, πολλαπλασίασον εἰς ἑαυτὴ τὴν τῶν ιε σπιθαμῶν πλευρὰν ἐφ' ἧς περαιοῦται ἡ κάθετος εὐθεία γραμμή· ιε-κις οὖν ιε γίνονται σκε. Πρόσθες καὶ τὸ ἥμισυ τῆς μείζονος πλευρᾶς τῶν ις σπιθαμῶν, τουτέστι τὰς η σπιθαμάς, ὡς τὸ πέρας τῆς καθέτου εὐθείας γραμμῆς ἐποίησας ἐπὶ τῆς πλευρᾶς τῶν ιε σπιθαμῶν, καὶ γίνονται ὁμοῦ σλγ. Ἐπεὶ δὲ ἑκάστη πλευρὰ τῶν ιδ καὶ ιε καὶ ις, ἔχοσιν πρὸς ἄλληλας αἱ πλευραὶ ἀνὰ α σπιθαμὴν πλείω, πολλαπλασίασον ταύτην τὴν α σπιθαμὴν εἰς ἑαυτή· ἅπαξ οὖν α πάλιν ἐστὶ α. Πρόσθες καὶ ταύτη τὴν μίαν σπιθαμὴν καὶ γίνονται ὁμοῦ σλδ. Πολλαπλασίασόν δε εἰς ἑαυτὴ καὶ τὴν μείζονα πλευρὰν τῶν ις σπιθαμῶν· ις-κις οὖν ις γίνονται σνς. Λαβὲ α/δ τῶν σνς, ὅπερ ἐστὶ ξδ.

Καὶ ἄλλως: Πολλαπλασίασον τὸ ἥμισυ τῆς μείζονος ταύτης πλευρᾶς τῶν ις σπιθαμῶν, εἰς ἑαυτό· η-κις οὖν η γίνονται ξδ. Ἐστὶ γὰρ πότε τὸ μὲν ἓν χρῆσθαι, πότε τὸ ἕτερον. Ταυτὸν γὰρ ἐστὶ πολλαπλασιᾶσαι τὰς ις σπιθαμὰς καὶ λαβεῖν α/δ τῶν σνς ὅπερ ἐστὶ ξδ, καὶ πολλαπλασιᾶσαι τὸ ἥμισυ τῶν ις, ὅπερ η-κις η πάλιν γίνονται ξδ. Ἄφελε οὖν ταῦτα τὰ ξδ ἐκ τῶν σλδ καὶ ἀπομένοσιν ρο. Διπλασίασόν δε β/δ καὶ γίνονται δ/δ ἅπερ ἐστὶ ἀκέραιον α. Ἄφελε τοῦτο τὸ α ἀκέραιον ἐκ τῶν ρο καὶ ἀπομένοσιν ρξθ. Ἡ ρίζα δὲ τῶν ρξθ ἐστὶ τὸ μῆκος τῆς καθέτου εὐθείας γραμμῆς. Ἡ δὲ ρίζα τῶν ρξθ ἐστὶ ιγ· ιγ-κις γὰρ ιγ γίνονται ρξθ. Ἐστὶ δὲ ἡ διχοτόμος εὐθεία γραμμή, σπιθαμῶν ιγ.

Ὡσαύτως καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν ὅπερ διαφέρει ἑκάστη πλευρὰ τῆς ἑτέρας, σπιθαμὴν α, ὡς τῶν ιζ καὶ ις καὶ ιε, καὶ ὡς τῶν ις καὶ ιε καὶ ιδ καὶ ἑξῆς ὁμοίως, τὸ μὲν κατὰ πλάτος πέρας τῆς καθέτου ἐστὶ τὸ ἥμισυ τῆς μείζονος πλευρᾶς, ἀρξάμενον μὲν ἀπὸ τῆς ἀμφογωνίας τῶν δύο μειζόνων πλευρῶν, περαιούμενόν δε ἐπὶ τῆς κεραίας πλευρᾶς, τὸ δὲ πόσων σπιθαμῶν ἐστὶ κατὰ μῆκος ἡ ζητουμένη κάθετος εὐθεία γραμμή.

Πολλαπλασίασον τὴν μέσην πλευρὰν εἰς ἑαυτή, ἥτις ἐστὶ ἐλαττωμένη τῆς μείζονος, μείζων δὲ τῆς ἐλάττονος, δι' ὃ καὶ μέση λέγεται, πρόσθες καὶ τὸ ἥμισυ τῆς μείζονος πλευρᾶς, ἐπὶ τὸν γεγονότα πολλαπλασιασμὸν τῆς μέσης πλευρᾶς, πρόσθες καὶ α σπιθαμὴν ἣν ἔχοσιν διαφορὰν πρὸς ἀλλήλας αἱ τρεῖς πλευραί, ἥτις πολλαπλασιασθεῖσα εἰς ἑαυτὴ πάλιν ἐστὶ α, πολλαπλασίασόν δε τὴν μείζονα πλευρὰν εἰς ἑαυτή, καὶ λαβὲ α/δ ἐκ τοῦ πολλαπλασιασμοῦ τῆς ὅλης μείζονος πλευρᾶς, ἄφελε οὖν τοῦτο ἐκ τῆς ὅλης ὁμάδος ἧς εἴπομεν τῆς μέσης πλευρᾶς καὶ τῶν μισῶν σπιθαμῶν (20) τῆς μείζονος καὶ τῆς α σπιθαμῆς, καὶ τὸ ἐναπομεῖναν μέρος ἐκ τῆς ὁμάδος ταύτης κράτει τοῦτο ἰδίως. Καὶ ἐπὶ μὲν τῶν ιζ καὶ ις καὶ ιε, διπλασίασον α α/β τέταρτον, καὶ γίνονται δὶς α α/β, γ/δ. Ἐπὶ δὲ τῶν ις καὶ ιε καὶ ιδ, διπλασίασον β/δ καὶ γίνονται δ/δ τουτέστι ἀκέραιον α. Ἐπὶ δὲ τῶν ιε καὶ ιδ καὶ ιγ διπλασίασον β α/β τέταρτα, καὶ γίνονται ε/δ τουτέστι ἀκέραιον α καὶ α/δ. Ἐπὶ δὲ τῶν ιδ καὶ ιγ καὶ ιβ διπλασίασον γ/δ καὶ γίνονται ς/δ ἅπερ ἐστὶ ἀκέραιον α α/β, καὶ ἑξῆς ὁμοίως.

Ἄφελε οὖν τὸν γεγονότα πολλαπλασιασμὸν τῶν ζητουμένων τετάρτων, ἐκ τῆς ἐναπολειφθείσης ὁμάδος ἧς ἰδίως κρατεῖς καὶ τὸ ἐναπομεῖναν μέρος τῆς ἐναπολειφθείσης ὁμάδος ἧς ἰδίως κρατεῖς. Ὅση ἐστὶ ἡ ρίζα τούτου, τοσούτων σπιθαμῶν ἐστὶ τὸ μῆκος τῆς καθέτου εὐθείας (25) γραμμῆς ἥσπερ ἂν ἔχης ζητῶν ἐπὶ τοιούτου σκαληνοῦ σχήματος ὡς τῶν ιζ καὶ ις καὶ ιε καὶ ὡς τῶν ις καὶ ιε καὶ ιδ τριῶν πλευρῶν καὶ ἑξῆς ὁμοίως.

Ἕτερον τούτου ὅμοιον.

Ἔστω καὶ ἕτερον σχῆμα σκαληνόν, ὅπερ ἡ μὲν ἐλάττω τούτου πλευρὰ ἐστὶ σπιθαμῶν ιβ, ἡ δὲ μείζων ις, ἡ δὲ ἐγκάρσιος ιδ. Ζητεῖς δὲ καὶ ἐκ τούτου, ἅπερ καὶ ἐκ τοῦ προγενεσθέρου ἐζήτησας. Ἔχεις δὲ τοῦτο εἰδέναι διὰ τῆς ὁμοίας μεταχειρίσεως. Λαβὲ καὶ ἐν ταῦτα τὸ ἥμισυ τῆς μείζονος πλευρᾶς τῶν ις σπιθαμῶν ὅπερ ἐστὶ η. Ἄρξου δὲ καὶ ἐν ταῦτα ἀπὸ τῆς ἀμφογωνίας τῶν δύο μειζόνων πλευρῶν τῶν ις καὶ ιδ σπιθαμῶν, καὶ λαβὲ σπιθαμὰς η, τουτέστι ὑπὲρ τὸ μέσον τῆς τῶν ιδ σπιθαμῶν πλευρᾶς, (30) σπιθαμὴν α, κακεῖσε τὸ κατὰ πλάτος πέρας τῆς διχοτόμου εὐθείας γραμμῆς ποίησον. Οὕτω δὲ γενομένης τῆς διχοτόμου εὐθείας γραμμῆς, τέμνει τὰς δύο ἀνίσους πλευρὰς τῶν ις καὶ ιβ σπιθαμῶν, ἐν ἴσῳ τμήματι ἐφ' ἑκατέρων τῶν δύο πλευρῶν.

Πολλαπλασίασόν δε εἰς ἑαυτὴ τὴν τῶν ιδ σπιθαμῶν πλευρὰν ἥτις δέχεται τὴν κάθετον εὐθείαν γραμμήν· ιδ-κις οὖν ιδ γίνονται ρϟς. Πρόσθες καὶ τὸ ἥμισυ τῆς μείζονος πλευρᾶς τῶν ις σπιθαμῶν, τουτέστι τὰς η σπιθαμάς, ὡς τὸ κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς ἐποίησας καὶ γίνονται ὁμοῦ σδ. Ἐπεὶ δὲ ἑκάστη πλευρὰ τῶν ιβ καὶ ιδ καὶ ις σπιθαμῶν, ἔχει σπιθαμὰς β πλείω, πολλαπλασίασον ταύτας τὰς β σπιθαμὰς εἰς ἑαυτάς· β-ὶς οὖν β (35) γίνονται δ. Πρόσθες καὶ ταύτας τὰς δ σπιθαμὰς καὶ γίνονται ὁμοῦ ση. Πολλαπλασίασον εἰς ἑαυτὴ καὶ τὴν μείζονα πλευρὰν τῶν ις σπιθαμῶν· ις-κις οὖν ις γίνονται σνς. Λαβὲ α/δ τῶν σνς ὅπερ ἐστὶ ξδ. Καὶ ἄλλως:

Τὸ ἥμισυ ταύτης τῆς μείζονος πλευρᾶς τῶν ις σπιθαμῶν η-κις οὖν η γίνονται ξδ. Ἄφελε (102β)(1) ξδ ἐκ τῶν ση καὶ ἀπομένοσιν ρμδ. Ζήτει τὴν ρίζαν τῶν ρμδ ἥτις ἐστὶ ιβ· ιβ-κις γὰρ ιβ, ρμδ γίνονται. Ἐστὶ δὲ τὸ μῆκος τῆς καθέτου εὐθείας γραμμῆς σπιθαμῶν ιβ.

Ὡσαύτως καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν, ὅπερ διαφέρει ἑκάστη πλευρὰ τῆς ἑτέρας σπιθαμὰς ιβ, ὡς τῶν ιη καὶ ις καὶ ιδ, καὶ ὡς τῶν ις καὶ ιδ καὶ ιβ καὶ ἑξῆς ὁμοίως, τὸ μὲν κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς ἐστὶ τὸ ἥμισυ τῆς μείζονος πλευρᾶς ἀρξάμενον μὲν ἀπὸ τῆς ἀμφογωνίας τῶν δύο μειζόνων πλευρῶν, περαιούμενόν δε ἐπὶ τῆς ἐγκαρσίου πλευρᾶς ἧς δέχεται τὴν κάθετον εὐθείαν γραμμήν.

Τὸ δὲ καὶ πόσων σπιθαμῶν (5) κατὰ μῆκος ἐστὶ ἡ κάθετος, πολλαπλασίασον εἰς ἑαυτὴ τὴν μέσην πλευρὰν ἥτις ἐστὶ ἔλαττω μὲν τῆς μείζονος, μείζων δὲ τῆς ἐλάττονος, ἥτις δέχεται τὴν κάθετον. Πρόσθες καὶ τὸ ἥμισυ τῆς μείζονος πλευρᾶς ἐπὶ τὸν γεγονότα πολλαπλασιασμόν, πρόσθες καὶ δ σπιθαμάς, ἃς πολλαπλασιάζοσιν αἱ β σπιθαμαί, τῆς διαφορᾶς τῶν τριῶν πλευρῶν, τῶν ις καὶ ιδ καὶ ιβ, καὶ τῶν ιδ καὶ ιβ καὶ ι, καὶ ἑξῆς ὁμοίως. Πολλαπλασίασόν δε καὶ τὸ ἥμισυ τῆς μείζονος πλευρᾶς, ὑπὲρ τὸ ἥμισυ ταύτης, ἐστὶ σπιθαμαὶ ἀκέραιαι, η ἢ ζ ἢ ς.

Εἰ δὲ ἔχη α/β, πολλαπλασίασον τὴν ὅλην μείζονα πλευρὰν εἰς ἑαυτή, καὶ λαβὲ α/δ τοῦ γεγονότος πολλαπλασιασμοῦ, ταυτὸν γὰρ ἐστὶ, ἄφελε οὖν τὸ α/δ ὅπερ ἔλαβες ἐκ τοῦ γεγονότος πολλαπλασιασμοῦ τῆς ὅλης μείζονος πλευρᾶς, ἐκ τῆς ὅλης ὁμάδος (10) ἧς ἐποίησας, τῆς μέσης πλευρᾶς, καὶ μισοῦ τοῦ μείζονος, καὶ τῶν δ σπιθαμῶν, καὶ τὸ ἐναπομεῖναν μέρος ἐκ τῆς ὁμάδος ταύτης, κράτει τοῦτο ἰδίως. Καὶ ἐπὶ μὲν τῶν κ καὶ ιη καὶ ις, τριῶν πλευρῶν, διπλασίασον ε α/β πέμπτα, καὶ γίνονται ια/ε ἅπερ ἐστὶ ἀκέραια β καὶ α/ε. Ἐπὶ δὲ τῶν ιη καὶ ις καὶ ιδ, διπλασίασον β α/β πέμπτα καὶ γίνονται ε/ε ἅπερ ἐστὶ ἀκέραιον α. Ἐπὶ δὲ τῶν ις καὶ ιδ καὶ ιβ διπλασίασον οὐδέν. Ἄφελε οὖν τὸν γεγονότα πολλαπλασιασμὸν, ἐκ τῆς ὁμάδος ἧς ἰδίως εἴπομεν κρατεῖν, ἐπὶ δὲ τῶν ιδ καὶ ιβ καὶ ι, διπλασίασον β α/β πέμπτα καὶ γίνονται ε/ε ἅπερ ἐστὶ ἀκέραιον α. Ἐπὶ δὲ τῶν ιβ καὶ ι καὶ η, διπλασίασον ε α/β πέμπτα καὶ γίνονται ια/ε ἅπερ ἐστὶ ἀκέραια β καὶ α/ε. Ἐπὶ δὲ τῶν ι καὶ η καὶ ς, διπλασίασον η α/β πέμπτα καὶ γίνονται ιζ/ε ἅπερ ἐστὶ (15) ἀκέραια γ καὶ β/ε. Τὸν γεγονότα δὲ διπλασιασμὸν τῶν ζητουμένων πέμπτων τῶν τριῶν τούτων πλευρῶν, οὐκ ἄφελε, ἀλλὰ μᾶλλον πρόσθες ἐπὶ τῆς ὁμάδος, ἧς ἰδίως κρατεῖς, κ' ἄν τε οὖν προσθῆναι χρὴ ταῦτα, κ' ἄν τε ἀφελεῖν καθ' ὃν τρόπον εἴπομεν. Ζήτει τὴν ρίζαν τῆς ὁμάδος τούτων, καὶ ὅση ἐστὶ ἡ ρίζα τούτων, τοσούτων σπιθαμῶν ἐστὶ κατὰ μῆκος καὶ ἡ κάθετος εὐθεία γραμμή, ἐπὶ τοιούτου ζητήματος ἀνὰ β σπιθαμῶν ἔχων τὴν διαφοράν, ὡς τῶν κ καὶ ιη καὶ ις, καὶ ὡς τῶν ιη καὶ ις καὶ ιδ, καὶ ἑξῆς ὁμοίως.

ρπγ´ Καὶ ἐκ τῆς ἑτέρας γωνίας ἀρξάμενος ἐπὶ τῆς ἐλάττονος πλευρᾶς περαιώσας.

Ἔστω τὸ πρῶτον σκαληνὸν σχῆμαν τὸ ἔχον πλευρὰς τρεῖς, σπιθαμῶν ις καὶ ιε καὶ ιδ. Ἀρξαμένης μὲν τῆς καθέτου εὐθείας γραμμῆς ἀπὸ τῆς ἀμφογωνίας τῶν δύο μειζόνων πλευρῶν τῶν ις καὶ ιε σπιθαμῶν, περαιωθείσης δὲ ἐπὶ τῆς ἐλάττονος πλευρᾶς τῶν ιδ σπιθαμῶν, ζητεῖς δὲ εἰδέναι, ἅπερ καὶ πρότερον ἐζήτησας. Ἔχεις δὲ ταῦτα εἰδέναι οὕτως

Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν μείζονα πλευρὰν τῶν ις σπιθαμῶν· ις-κις οὖν ις γίνονται σνς. Ὡσαύτως πολλαπλασίασον εἰς ἑαυτὴ καὶ τὴν τῶν ιε σπιθαμῶν πλευράν· ιε-κις οὖν ιε γίνονται σκε.

Πρόσθες καὶ β καὶ γίνονται σκζ. Ἄφελε τὰ σκζ ἐκ τῶν σνς καὶ ἀπομένοσιν κθ. Λαβὲ α/δ τῶν κθ ὅπερ ἐστὶ ζ καὶ α/δ. Ἐκ δὲ τῶν ζ καὶ α/δ, ἄφελε α/κε μιᾶς σπιθαμῆς, καὶ ἀπομένοσιν ζ καὶ α/δ μιᾶς σπιθαμῆς, παρὰ α/κε μιᾶς σπιθαμῆς. Ἄρξου δὲ ἀπὸ τῆς ἀμφογωνίας τῆς μείζονος καὶ ἐλάττονος πλευρᾶς τῶν ις καὶ ιδ σπιθαμῶν, καὶ λαβὲ σπιθαμὰς ζ καὶ α/δ μιᾶς σπιθαμῆς, παρὰ α/κε μιᾶς σπιθαμῆς, κακεῖσε τὸ κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς ποίησον, ἐπὶ τῆς ἐλάττονος πλευρᾶς τῶν ιδ σπιθαμῶν. Οὕτω δὲ γενομένης τῆς καθέτου εὐθείας γραμμῆς, τέμνει τὰς δύο ἀνίσους πλευρὰς τῶν ις καὶ ιε σπιθαμῶν, ἐν ἴσῳ τμήματι ἐφ' ἑκάτερον τῶν δύο πλευρῶν. Ἐκ δὲ τοῦ πολλαπλασιασμοῦ τῆς μείζονος πλευρᾶς τῶν ις σπιθαμῶν, τουτέστι τῶν σνς, λαβὲ α/δ ὅπερ ἐστὶ ξδ, καὶ ἄλλως ὡς εἴπομεν, τὸ ἥμισυ ταύτης, η-κις η, πάλιν γίνονται ξδ. Ἄφελε τὰ ξδ ἐκ τῶν σνς ὧν πολλαπλασιάζοσιν αἱ ις σπιθαμαὶ τῆς μείζονος πλευρᾶς καὶ ἀπομένοσιν ρϟβ. Ἄφελέ τι καὶ γ/δ μιᾶς σπιθαμῆς, ἐκ τῶν ρϟβ, καὶ ἀπομένοσιν ρϟα καὶ α/δ. Ζήτει τὴν ρίζαν τούτων ἥτις ἐστὶ ιγ καὶ α/δ ἔγγιστα. Τὰ γὰρ ιγ καὶ α/δ εἰς ἑαυτὰ τεχνικῶς πολλαπλασιαζόμενα, πολλαπλασιάζοσιν ρϟα καὶ α/γ. Ἐστὶ δὲ τὸ μῆκος τῆς καθέτου εὐθείας γραμμῆς, ιγ καὶ α/δ ἔγγιστα μιᾶς σπιθαμῆς.

Ὡσαύτως καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν, ὅπερ διαφέρει ἑκάστη πλευρὰ τῆς ἑτέρας σπιθαμὴν α, ὡς τῶν ιζ καὶ ις καὶ ιε, καὶ ὡς τῶν ις καὶ ιε καὶ ιδ, καὶ ἑξῆς ὁμοίως, τὸ μὲν κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς, πολλαπλασίασον εἰς ἑαυτὴ τὴν μείζονα πλευράν. Πολλαπλασίασόν δε εἰς ἑαυτὴ καὶ τὴν μέσην πλευράν, τὴν ἔλαττο μὲν οὖσαν τῆς μείζονος, μείζων δὲ τῆς ἐλάττονος, δι' ὃ καὶ μέση λέγεται. Πρόσθες καὶ β ἐπὶ τὸν γεγονότα πολλαπλασιασμὸν τῆς μέσης πλευρᾶς, καὶ ὅσος γένηται (35) ὁ πολλαπλασιασμὸς τῆς μέσης πλευρᾶς, μετὰ τῆς προσθέσεως τῶν β, ἄφελε τοῦτο ἐκ τὸν γεγονότα πολλαπλασιασμὸν τῆς μείζονος πλευρᾶς, καὶ τὸ ἐναπομεῖναν μέρος ἐκ τοῦ πολλαπλασιασμοῦ τῆς μείζονος πλευρᾶς, λαβὲ ἐξ αὐτοῦ τὸ τέταρτον μέρος. Ἀπὸ δὲ τοῦ τετάρτου μέρους, οὗ ἀφῆλες, ἔτι ἄφελε α/κε μιᾶς σπιθαμῆς, (103α)(1) κακεῖσε τὸ κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς ποίησον, ἀρξάμενον ἀπὸ τῆς ἀμφογωνίας τῆς μείζονος καὶ ἐλάττονος πλευρᾶς, περαιούμενόν δε ἐπὶ τῆς ἐλάττονος πλευρᾶς.

Τὸ δὲ καὶ πόσων σπιθαμῶν ἐστὶ κατὰ μῆκος ἡ κάθετος εὐθεία γραμμή, πολλαπλασίασον τὴν μείζονα πλευρὰν εἰς ἑαυτή, καὶ λαβὲ α/δ τοῦ γεγονότος πολλαπλασιασμοῦ τῆς μείζονος πλευρᾶς. Ἄφελέ δε τὸ α/δ ὅπερ ἔλαβες ἐκ τοῦ πολλαπλασιασμοῦ τῆς μείζονος πλευρᾶς, ἐκ τοῦ τοιούτου πολλαπλασιασμοῦ τῆς αὐτῆς μείζονος πλευρᾶς, καὶ τὸ ἐναπομεῖναν μέρος τοῦ τοιούτου ὅλου πολλαπλασιασμοῦ τῆς μείζονος πλευρᾶς, ἐπὶ μὲν τῶν ιζ καὶ ις καὶ ιε τριῶν πλευρῶν, ἄφελε β/δ (5) ἅπερ ἐστὶ α/β, ἐπὶ δὲ τῶν ις καὶ ιε καὶ ιδ ἄφελε γ/δ. Ἐπὶ δὲ τῶν ιδ καὶ ιγ καὶ ιβ, ἄφελε ε/δ ἅπερ ἐστὶ ἀκέραιον α καὶ α/δ. Ἐπὶ δὲ τῶν ιγ καὶ ιβ καὶ ια, ἄφελε ς/δ ἅπερ ἐστὶ ἀκέραιον α καὶ α/β.

Ἀφαιρεθέντων δὲ τῶν δηλωθέντων τετάρτων, ἐκ τοῦ ἐναπομείναντος μέρους τοῦ πολλαπλασιασμοῦ τῆς μείζονος πλευρᾶς, τὸ ἐναπομεῖναν μέρος, ὅση ἐστὶ ἡ ρίζα τούτου, τοσούτων σπιθαμῶν ἐστὶ κατὰ μῆκος καὶ ἡ κάθετος εὐθεία γραμμὴ τοῦ σκαληνοῦ σχήματος, τοῦ ἔχοντος ἑκάστη πλευρὰ τῆς ἑτέρας σπιθαμὴν α πλείω, ὡς τῶν ιζ καὶ ις καὶ ιε καὶ ὡς τῶν ις καὶ ιε καὶ ιδ, καὶ ἑξῆς ὁμοίως.

Ἕτερον τούτου ὅμοιον.

Ἔστω δὲ ἡ διαφορὰ ἀνὰ β σπιθαμῶν ὡς τῶν ις καὶ ιδ καὶ ιβ. Πολλαπλασίασον καὶ ἐν ταῦτα τὴν μείζονα πλευρὰν τῶν ις σπιθαμῶν εἰς ἑαυτή· ις-κις οὖν ις γίνονται σνς. Ὡσαύτως πολλαπλασίασον καὶ ἐν ταῦτα τὴν μέσην πλευρὰν τῶν ιδ σπιθαμῶν εἰς ἑαυτή· ιδ-κις οὖν ιδ γίνονται ρϟς. Νῦν δὲ ἀντὶ τῶν β, πρόσθες θ, ἐπὶ τὸν πολλαπλασιασμὸν τῆς μέσης πλευρᾶς τῶν ιδ σπιθαμῶν, ἥτις ἐστὶ ρϟς· θ δὲ καὶ ρϟς, γίνονται ὁμοῦ σε. Ἄφελε ταῦτα ἐκ τοῦ γεγονότος πολλαπλασιασμοῦ τῆς μείζονος πλευρᾶς τῶν ις σπιθαμῶν ἥτις ἐστὶ σνς, καὶ ἀπομένοσιν να. Λαβὲ α/η τῶν να ὅπερ ἐστὶ ς καὶ γ/η μιᾶς σπιθαμῆς, πρόσθες καὶ α/κδ μιᾶς σπιθαμῆς ἐπὶ τῶν ς καὶ γ/η, ταυτὸν δ’ εἰπεῖν ἐπὶ τῶν ς καὶ θ/κδ, καὶ γίνονται ς καὶ ι/κδ, τουτέστι ς καὶ ε/ιβ μιᾶς σπιθαμῆς.

Ἄρξου δὲ ἀπὸ τῆς ἀμφογωνίας τῆς μείζονος καὶ ἐλάττονος πλευρᾶς τῶν ις καὶ ιβ σπιθαμῶν καὶ λαβὲ σπιθαμὰς ς καὶ ε/ιβ μιᾶς σπιθαμῆς, κακεῖσε τὸ κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς ποίησον, ἐπὶ τῆς ἐλάττονος πλευρᾶς τῶν ιβ σπιθαμῶν. Οὕτω δὲ γενομένης τῆς καθέτου εὐθείας γραμμῆς, τέμνει, τὰς δύο ἀνίσους πλευρὰς τῶν ις καὶ ιδ σπιθαμῶν, ἐν ἴσῳ τμήματι ἐφ’ ἑκατέρων τῶν δύο πλευρῶν. Ἀπὸ δὲ τοῦ γεγονότος πολλαπλασιασμοῦ τῆς μείζονος πλευρᾶς τῶν ις σπιθαμῶν ἥτις ἐστὶ σνς, λαβὲ α/δ ὅπερ ἐστὶ ξδ, πρόσθες καὶ δ καὶ γίνονται ὁμοῦ ξη. Ἄφελέ δε ταῦτα ἐκ τοῦ γεγονότος πολλαπλασιασμοῦ τῆς αὐτῆς μείζονος πλευρᾶς τῶν ις σπιθαμῶν ἥτις ἐστὶ ὡς εἴπομεν σνς, καὶ ἀπομένοσιν ρπη. Πρόσθες καὶ δ/η ἅπερ ἐστὶ α/β καὶ γίνονται ὁμοῦ ρπη α/β. Ζήτει τὴν ρίζαν τῶν ρπη α/β (20) ἥτις ἐστὶ ιγ καὶ ζ/ι μιᾶς σπιθαμῆς βραχύ τι πλείω. Τὰ γὰρ ιγ καὶ ζ/ι εἰς ἑαυτὰ τεχνικῶς πολλαπλασιαζόμενα, πολλαπλασιάζοσιν ρπζ καὶ ζ/ι. Ἐστὶ δὲ τὸ μῆκος τῆς καθέτου εὐθείας γραμμῆς σπιθαμῶν ιγ καὶ ζ/ι μιᾶς σπιθαμῆς, βραχύ τι πλείω.

Ὡσαύτως καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν, ὅπερ διαφέρει ἑκάστη πλευρὰ τῆς ἑτέρας σπιθαμὰς β, ὡς τῶν ιη καὶ ις καὶ ιδ, καὶ ὡς τῶν ις καὶ ιδ καὶ ιβ καὶ ἑξῆς ὁμοίως, τὸ μὲν κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς, πολλαπλασίασον εἰς ἑαυτὴ τὴν μείζονα πλευράν. Πολλαπλασίασόν δε καὶ τὴν μέσην πλευρὰν τὴν ἔλαττο μὲν οὖσαν τῆς μείζονος, μείζων δὲ τῆς ἐλάττονος, δι᾿ ὃ καὶ μέση λέγεται, πρόσθες καὶ θ εἰς τὸν πολλαπλασιασμὸν τῆς μέσης πλευρᾶς, καὶ ὅσος γένηται ὁ τῆς μέσης πλευρᾶς πολλαπλασιασμός, μετὰ καὶ τῆς προσθέσεως τῶν θ, ἄφελε τοῦτον ἐκ τοῦ γεγονότος πολλαπλασιασμοῦ τῆς μείζονος πλευρᾶς, καὶ τὸ ἐναπομεῖναν (25) μέρος ἐκ τοῦ πολλαπλασιασμοῦ τῆς μείζονος πλευρᾶς, λαβὲ ἐξ αὐτοῦ α/η, τουτέστι μέρισον τοῦτο μετὰ τῶν η. Οὕτως γὰρ ἔχεις προχείρως λαβεῖν τὸ α/η. Καὶ ὅσον γένηται τὸ α/η κράτει τοῦτο ἰδίως. Καὶ ἐπὶ μὲν τῶν κ καὶ ιη καὶ ις τριῶν πλευρῶν, τὸ α/η ἐστὶ η καὶ γ/η, πρόσθες καὶ α/κδ, καὶ γίνονται η καὶ ε/ιβ. Ἐπὶ δὲ τῶν ιη καὶ ις καὶ ιδ, τὸ α/η ἐστὶ ζ καὶ γ/η. Πρόσθες καὶ α/κδ καὶ γίνονται ζ καὶ ε/ιβ. Ἐπὶ δὲ τῶν ις καὶ ιδ καὶ ιβ, τὸ α/η ἐστὶ ϛ καὶ γ/η. Πρόσθες καὶ α/κδ καὶ γίνονται ϛ καὶ ε/ιβ. Ἐπὶ δὲ τῶν ιδ καὶ ιβ καὶ ι, τὸ α/η ἐστὶ ε καὶ γ/η. Πρόσθες οὐδέν, καὶ πάλιν ἐστὶ ε καὶ γ/η. Ἐπὶ δὲ τῶν ιβ καὶ ι καὶ η, τὸ α/η ἐστὶ δ καὶ γ/η. Πρόσθες οὐδέν, καὶ πάλιν ἐστὶ δ καὶ γ/η. Ἐπὶ δὲ τῶν ι καὶ η καὶ ϛ, τὸ α/η ἐστὶ γ καὶ γ/η. Ἄφελε α/κδ καὶ ἀπομένοσιν γ καὶ α/γ.

Ἄρξου δὲ ἀπὸ τῆς ἀμφογωνίας τῆς μείζονος καὶ ἐλάττονος πλευρᾶς, καὶ λαβὲ ὅσον ἐστὶ (30) τὸ α/η μετὰ τῆς ἐπιδιορθώσεως τῆς προσταφαιρέσεως τοῦ α/κδ ὡς εἴπομεν, κακεῖσε τὸ κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς ποίησον, ἀρξάμενος μὲν ἀπὸ τῆς ἀμφογωνίας τῆς μείζονος καὶ ἐλάττονος πλευρᾶς, περαιώσας δὲ τοῦτο ἐπὶ τῆς ἐλάττονος πλευρᾶς.

Τὸ δὲ καὶ πόσων σπιθαμῶν κατὰ μῆκος ἐστὶ ἡ κάθετος εὐθεία γραμμή, λαβὲ α/δ τοῦ γεγονότος πολλαπλασιασμοῦ τῆς μείζονος πλευρᾶς, πρόσθες καὶ δ, καὶ ὅσον γένηται τὸ α/δ τοῦ πολλαπλασιασμοῦ τῆς ζητουμένης μείζονος πλευρᾶς, ἄφελε τοῦτο ἐκ τοῦ ὅλου πολλαπλασιασμοῦ τῆς αὐτῆς μείζονος ζητουμένης πλευρᾶς, καὶ τὸ ἐναπομεῖναν μέρος, κράτει τοῦτο ἰδίως. Καὶ ἐπὶ μὲν τῶν κ καὶ ιη καὶ ις τριῶν πλευρῶν, πρόσθες ε/η μιᾶς σπιθαμῆς, ἐπὶ δὲ τῶν ιη καὶ ις καὶ ιδ πρόσθες δ α/β /η. Ἐπὶ δὲ τῶν ις καὶ ιδ καὶ ιβ, πρόσθες δ/η ἅπερ ἐστὶ α/β.(35) Ἐπὶ δὲ τῶν ιδ καὶ ιβ καὶ ι πρόσθες γ α/β /η. Ἐπὶ δὲ τῶν ιβ καὶ ι καὶ η πρόσθες γ/η. Ἐπὶ δὲ τῶν ι καὶ η καὶ ς πρόσθες β α/β /η. Προστεθέντων δὲ τῶν δηλωθέντων ὀγδόων ἐπὶ τοῦ ἐναπομείναντος μέρους τοῦ πολλαπλασιασμοῦ τῆς ζητουμένης μείζονος πλευρᾶς, οὗ καὶ ἰδίως κρατεῖν εἴπομεν, ζήτει τὴν ρίζαν τούτου, καὶ (103β)(1) ὅση ἐστὶ ἡ ρίζα τούτου, τοσούτων σπιθαμῶν ἐστὶ καὶ τὸ μῆκος τῆς καθέτου εὐθείας γραμμῆς, τοῦ σκαληνοῦ σχήματος τοῦ ἔχοντος ἑκάστη πλευρὰ τῆς ἑτέρας, σπιθαμὰς β πλείω, ὡς τῶν κ καὶ ιη καὶ ις, καὶ ὡς τῶν ιη καὶ ις καὶ ιδ καὶ ἑξῆς ὁμοίως.

ρπδ΄ Καὶ ἐκ τῆς ἑτέρας γωνίας ἀρξάμενος, ἐπὶ τῆς μείζονος πλευρᾶς περαιώσας.

Ἔστω τὸ πρῶτον σκαληνὸν σχῆμαν τὸ ἔχον πλευρὰς τρεῖς, σπιθαμῶν ις καὶ ιε καὶ ιδ, ἀρξαμένης μὲν τῆς καθέτου εὐθείας γραμμῆς ἀπὸ τῆς ἀμφογωνίας τῶν δύο ἐλαττόνων πλευρῶν τῶν ιε καὶ ιδ σπιθαμῶν, περαιωθείσης δὲ ἐπὶ τῆς μείζονος πλευρᾶς τῶν ις σπιθαμῶν, (5) ζητεῖς εἰδέναι ἅπερ καὶ πρότερον ἐζήτησας. Ἔχεις δὲ ταῦτα εἰδέναι οὕτως:



Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν μείζονα πλευρὰν τῶν ις σπιθαμῶν ἥτις νῦν δέχεται τὴν διάμετρον· ις-κις οὖν ις γίνονται σνς. Λαβὲ α/δ τῶν σνς ὅπερ ἐστὶ ξδ. Πρόσθες καὶ δ καὶ γίνονται ὁμοῦ ξη. Πρόσθες καὶ α α/β τέταρτον καὶ γίνονται ξη καὶ α α/β / δ. Ζήτει τὴν ρίζαν τούτων ἥτις ἐστὶ η καὶ γ/ια. Τὰ γὰρ η καὶ γ/ια εἰς ἑαυτὰ τεχνικῶς πολλαπλασιαζόμενα, πολλαπλασιάζοσιν ξη καὶ β/ε. Ἐστὶ δὲ τὸ κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς, σπιθαμῶν η καὶ γ/ια μιᾶς σπιθαμῆς. Ἄρξου δὲ ἀπὸ τῆς ἀμφογωνίας τῶν δύο μειζόνων (10) πλευρῶν τῶν ιε καὶ ις σπιθαμῶν, καὶ λαβὲ σπιθαμὰς η καὶ γ/ια, κακεῖσε τὸ κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς ποίησον, ἐπὶ τῆς μείζονος πλευρᾶς τῶν ις σπιθαμῶν. Οὕτω δὲ γενομένης τῆς καθέτου εὐθείας γραμμῆς, τέμνει τὰς δύο ἀνίσους πλευρὰς τῶν ιε καὶ ιδ σπιθαμῶν, ἐν ἴσῳ τμήματι ἐφ’ ἑκατέρων τῶν δύο πλευρῶν.

Πολλαπλασίασον εἰς ἑαυτὴ καὶ τὴν ἐλάττονα πλευρὰν τῶν ιδ σπιθαμῶν· ιδ-κις οὖν ιδ γίνονται ρϟς. Λαβὲ α/δ τῶν ρϟς ὅπερ ἐστὶ μθ. Καὶ ἄλλως ὡς εἴπομεν, πολλαπλασίασον τὸ ἥμισυ τῶν ιδ σπιθαμῶν· ζ-κις οὖν ζ πάλιν γίνονται μθ. Πρόσθες καὶ α α/β καὶ γίνονται ὁμοῦ ν α/β. Ἄφελε ταῦτα ἐκ τὸν γεγονότα πολλαπλασιασμὸν τῆς αὐτῆς ἐλάττονος πλευρᾶς τῶν ιδ σπιθαμῶν ἥτις ἐστὶ ρϟς, καὶ ἀπομένοσιν ρμε α/β. Διπλασίασόν δε (15) α/δ καὶ γίνονται β/δ ἅπερ ἐστὶ α/β. Ἄφελέ δε τοῦτο ἐκ τῶν ρμε α/β καὶ ἀπομένοσιν ρμε. Ζήτει τὴν ρίζαν τῶν ρμε ἥτις ἐστὶ ιβ καὶ α/ιη. Τὰ γὰρ ιβ καὶ α/ιη τεχνικῶς πολλαπλασιαζόμενα, πολλαπλασιάζοσιν ρμε καὶ ε/ις. Ἐστὶ δὲ τὸ μῆκος τῆς καθέτου εὐθείας γραμμῆς, σπιθαμῶν ιβ καὶ α/ιη μιᾶς σπιθαμῆς βραχύ τι ἐλάττω.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν, ὅπερ διαφέρει ἑκάστη πλευρὰ τῆς ἑτέρας σπιθαμὴν α, ὡς τῶν ιζ καὶ ις καὶ ιε, καὶ ὡς τῶν ις καὶ ιε καὶ ιδ, καὶ ἑξῆς ὁμοίως, τὸ μὲν κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς, πολλαπλασίασον τὴν ζητουμένην μείζονα πλευρὰν εἰς ἑαυτή. Λαβὲ δὲ α/δ τοῦ ἐκ ταύτης γεγονότος πολλαπλασιασμοῦ, πρόσθες ἐπὶ τοῦ α/δ καὶ δ πλείω, καὶ κράτει τὸ α/δ μετὰ τῆς προσθέσεως τῶν δ, ἰδίως. Καὶ ἐπὶ μὲν τῶν ιζ καὶ ις καὶ ιε, τριῶν πλευρῶν, πρόσθες β/δ ἅπερ ἐστὶ α/β, ἐπὶ δὲ τῶν ις καὶ ιε καὶ ιδ πρόσθες α α/β /δ. (20) Ἐπὶ δὲ τῶν ιε καὶ ιδ καὶ ιγ, πρόσθες α/δ, ἐπὶ δὲ τῶν ιδ καὶ ιγ καὶ ιβ πρόσθες α/β /δ ὅπερ ἐστὶ α/η. Ἐπὶ δὲ τῶν ιγ καὶ ιβ καὶ ια πρόσθες οὐδέν. Καὶ ὅσον γένηται τὸ α/δ τῆς πολλαπλασιασθείσης μείζονος ζητουμένης πλευρᾶς μετὰ τῆς προσθέσεως τῶν δ, ὧν καὶ κρατεῖν ἰδίως εἴπομεν, ἔτι τε καὶ τῶν δηλουμένων τετάρτων ὧν εἴπομεν, ἄφελε ταῦτα πάντα, ἐκ τῆς ὅλης ὁμάδος τῆς πολλαπλασιασθείσης ζητουμένης μείζονος πλευρᾶς, καὶ τὸ ἐναπομεῖναν μέρος τοῦ τοιούτου πολλαπλασιασμοῦ τῆς μείζονος πλευρᾶς, ζήτει τὴν ρίζαν τούτου, καὶ ὅση ἐστὶ ἡ ρίζα τούτου, τοσούτων σπιθαμῶν ἐστὶ καὶ τὸ κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς, ἀρξάμενον μὲν ἀπὸ τῆς ἀμφογωνίας τῶν δύο μειζόνων πλευρῶν, περαιωθὲν δὲ ἐπὶ τῆς μείζονος πλευρᾶς.

Τὸ δὲ καὶ πόσων σπιθαμῶν ἐστὶ τὸ μῆκος τῆς καθέτου εὐθείας γραμμῆς, πολλαπλασίασον εἰς ἑαυτὴ τὴν ἐλάττονα πλευράν. Λαβὲ δὲ (25) α/δ τοῦ ταύτης γεγονότος πολλαπλασιασμοῦ. Πρόσθες καὶ α α/β, καὶ ὅσον γένηται τὸ α/δ τῆς πολλαπλασιασθείσης ἐλάττονος πλευρᾶς, μετὰ καὶ τῆς προσθέσεως τοῦ α α/β, ἄφελε τοῦτο, ἐκ τοῦ ὅλου πολλαπλασιασμοῦ τῆς αὐτῆς ἐλάττονος ζητουμένης πλευρᾶς, καὶ τὸ ἐναπομεῖναν μέρος κράτει τοῦτο ἰδίως. Καὶ ἐπὶ μὲν τῶν ιζ καὶ ις καὶ ιε τριῶν πλευρῶν, διπλασίασον οὐδέν, ἐπὶ δὲ τῶν ις καὶ ιε καὶ ιδ διπλασίασον α/δ καὶ γίνονται β/δ ἅπερ ἐστὶ α/β. Ἐπὶ δὲ τῶν ιε καὶ ιδ καὶ ιγ, διπλασίασον β/δ καὶ γίνονται δ/δ ἅπερ ἐστὶ ἀκέραιον α. Ἐπὶ δὲ τῶν ιδ καὶ ιγ καὶ ιβ διπλασίασον γ/δ καὶ γίνονται ς/δ ἅπερ ἐστὶ α α/β. Ἐπὶ δὲ τῶν ιγ καὶ ιβ καὶ ια διπλασίασον δ/δ καὶ γίνονται η/δ ἅπερ ἐστὶ ἀκέραια β. Ἄφελε οὖν ταῦτα τὰ διπλασιασθέντα τέταρτα, ἐκ τοῦ ἐναπομείναντος μέρους οὗ κρατεῖς ἰδίως. Ζήτει δὲ τὴν ρίζαν τούτου, καὶ ὅση ἐστὶ ἡ ρίζα τούτου, τοσούτων σπιθαμῶν ἐστὶ καὶ τὸ μῆκος τῆς καθέτου (30) εὐθείας γραμμῆς τοῦ σκαληνοῦ σχήματος τοῦ ἔχοντος ἑκάστη πλευρὰ τῆς ἑτέρας σπιθαμὴν α πλείω, ὡς τῶν ιζ καὶ ις καὶ ιε, καὶ ὡς τῶν ις καὶ ιε καὶ ιδ καὶ ἑξῆς ὁμοίως.

Ἕτερον τούτου ὅμοιον.

Ἔστω δὲ ἡ διαφορὰ ἀνὰ β σπιθαμῶν, ὡς τῶν ις καὶ ιδ καὶ ιβ.



κατὰ πλάτος η καὶ ζ/ια

Πολλαπλασίασον καὶ ἐν ταῦτα τὴν μείζονα πλευρὰν τῶν ις σπιθαμῶν εἰς ἑαυτή· ις-κις οὖν ις γίνονται σνς. Λαβὲ καὶ ἐν ταῦτα α/δ τῶν σνς ὅπερ ἐστὶ ξδ. Νῦν δὲ ἀντὶ τῶν δ πρόσθες η καὶ γίνονται ὁμοῦ οβ. Διπλασίασόν δε α καὶ γ/ι καὶ γίνονται β καὶ ς/

ι, τουτέστι β καὶ γ/ε. Ἕνωσον ταῦτα μετὰ τῶν οβ καὶ γίνονται ὁμοῦ οδ καὶ γ/ε. Ζήτει τὴν ρίζαν τῶν οδ καὶ γ/ε ἥτις ἐστὶ η καὶ ζ/ια. Τὰ γὰρ η καὶ ζ/ια τεχνικῶς εἰς ἑαυτὰ πολλα(35) πλασιαζόμενα πολλαπλασιάζοσιν οδ καὶ γ/ε. Ἐστὶ δὲ τὸ κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς, σπιθαμῶν η καὶ ζ/ια μιᾶς σπιθαμῆς. Ἄρξου δὲ ἀπὸ τῆς ἀμφογωνίας τῶν δύο μειζόνων πλευρῶν τῶν ιδ καὶ ις σπιθαμῶν, καὶ λαβὲ σπιθαμὰς η καὶ ζ/ια μιᾶς σπιθαμῆς, κακεῖσε, τὸ κατὰ πλάτος πέρας τῆς καθέτου εὐθείας γραμμῆς ποίησον, ἐπὶ1(104α)(1) ποίησόν δε τετράγωνον ἰσόπλευρον ὀρθογώνιον ἑκάστη τούτου πλευρὰν σπιθαμῶν ς καὶ α/ε μιᾶς σπιθαμῆς, τουτέστι τὴν ρίζαν τῶν λη α/β σπιθαμῶν, ὧν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ κύκλου. Ἕνωσον τὰς τέσσαρας πλευράς· δ-κις οὖν ς καὶ α/ε γίνονται κδ καὶ δ/ε μιᾶς σπιθαμῆς. Ἐστὶ δὲ ἡ περίμετρος τοῦ τετραγώνου, σπιθαμῶν κδ καὶ δ/ε μιᾶς σπιθαμῆς βραχύ τι πλείω, καθ' ὅτι τὰ ς καὶ α/ε οὐ πολλαπλασιάζοσιν λη α/β ἀλλὰ λη ια/κε. Αἱ δὲ κδ δ/ε ἅπερ ἐστὶ περίμετρος τοῦ τετραγώνου, ἐστὶ πλείω τῆς περιμέτρου τοῦ κύκλου τῶν κβ (5) σπιθαμῶν, σπιθαμὰς β καὶ δ/ε μιᾶς σπιθαμῆς βραχύ τι πλείω. Καθ' ὅσον δὲ ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ κύκλου τῶν κβ σπιθαμῶν, τοσοῦτον ἐστὶ καὶ τὸ ἐμβαδὸν τοῦ τετραγώνου τῶν κδ σπιθαμῶν καὶ δ/ε μιᾶς σπιθαμῆς βραχύ τι πλείω.

λη α/β

ς α/ε

ς α/ε  ς α/ε

῞Εκαστον γὰρ ἐμβαδὸν τούτων, ἐστὶ χωρητικὸν σπιθαμῶν τετραγώνων λη α/β. Πολλαπλασίασον γὰρ τὴν ὄρθιον πλευρὰν τοῦ τετραγώνου μετὰ τὴν τούτου ἐγκάρσιον, τουτέστι ς καὶ α/ε μετὰ τῶν ς καὶ α/ε καὶ γίνεται ὁ τούτων πολλαπλασιασμὸς λη καὶ ια/κε τουτέστι λη α/β ἔγγιστα. Χωρητικότερον γὰρ ὂν τὸ ἐμβαδὸν τοῦ κύκλου ἢ τοῦ τετραγωνοῦ μείζονος περιμέτρου δείαιτο τὸ τετράγωνον, ἐκ τῆς περιμέτρου τοῦ κύκλου, πρὸς τὸ ἰσομερὲς σῶμα δέξασθαι.

῞Ετερον τούτου ὅμοιον.

῎Εστω κύκλος ὃς ἐστὶ ἡ περίμετρος τούτου (10) σπιθαμῶν κ. Πολλαπλασίασον τὴν τοῦ περίμετρον εἰς ἑαυτή· κ-κις οὖν κ γίνονται υ. Μέρισον τὰ υ μετὰ τῶν ιβ καὶ δ/ζ καθὼς εἴπομεν πάντοτε ποιεῖν, καὶ γίνεται ὁ τούτων διαμερισμὸς λα καὶ θ/ια μιᾶς σπιθαμῆς. Καὶ ἰδοὺ τὸ ἐμβαδὸν τοῦ κύκλου τοῦ ἔχοντος περίμετρον σπιθαμῶν κ, ἐστὶ χωρητικὸν σπιθαμῶν τετραγώνων λα καὶ θ/ια μιᾶς σπιθαμῆς. Καὶ τοῦτο γίνεται ὄντως, καὶ ἐπὶ παντὸς ἑτέρου κύκλου.

ζ
αη
δςβ
βηυυ
ηηη
η
λα καὶ θ/ια



᾿Οπινήκα δὲ ζητῆς εἰδέναι ἐμβαδὸν κυκλοτέρου σχήματος πολυγωνίου, γωνιῶν μ, ἢ γωνιῶν λ καὶ ἑξῆς ὁμοίως, ἔχεις εἰδέναι καὶ τὸ τοῦτον ἐμβαδὸν οὐ μετὰ (15) μιᾶς μεταχειρίσεως ἀλλὰ διὰ ποικίλλων καὶ διαφόρων μεταχειρίσεων, καθὼς ἐροῦμεν ἐφ’ ἑκάστης τάξεως τούτων σαφέστερον, ἐντεῦθεν ἀρξάμενοι.

σβ΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν μ, καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

Ἔστω σφαιροειδὲς σχῆμα γωνιῶν μ, ἐφ’ ἑκάστης τούτου πλευρᾶς σπιθαμῆς α/β, ὁμοῦ δὲ ἡ τούτου περίμετρος σπιθαμῶν κ, ζητεῖς δὲ τετραγωνῖσαι τὸ ἐμβαδὸν τούτου καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν τούτου περίμετρον· κ-κις οὖν κ γίνονται υ. Μέρισον τὰ υ μετὰ τῶν ιβ καὶ ε/η καὶ γίνεται ὁ τούτων διαμερισμὸς λα καὶ ζ/ι μιᾶς σπιθαμῆς. (20) Ἐστὶ δὲ τὸ ἐμβαδὸν τούτου χωρητικόν, σπιθαμῶν τετραγώνων λα καὶ ζ/ι μιᾶς σπιθαμῆς.

ς ξθ/ρα

αζθ

γβυυ

αυαα

αυ

λα καὶ ζ/ι



Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον σφαιροειδὲς σχῆμαν γωνιῶν μ. Πολλαπλασίασον τὴν τούτου περίμετρον εἰς ἑαυτή. Μέρισόν δε τὸν γεγονότα πολλαπλασιασμὸν, πάντοτε μετὰ τῶν ιβ καὶ ε/η, καὶ ὁ γενόμενος τούτων διαμερισμός, τοσούτων σπιθαμῶν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν μ γωνιῶν οὗπερ ἂν ἔχης ζητῶν.

σγ΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν λ, καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

Ἔστω σφαιροειδὲς σχῆμα, γωνιῶν λ, ἐφ’ ἑκάστης τούτου πλευρᾶς β/γ μιᾶς σπιθαμῆς, ὁμοῦ δὲ ἡ τούτου περίμετρος σπιθαμῶν κ. (25) Ζητεῖς δὲ τετραγωνῖσαι τὸ ἐμβαδὸν τούτου καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν τούτου περίμετρον· κ-κις οὖν κ γίνονται υ. Μέρισον τὰ υ μετὰ τῶν ιβ καὶ β/γ καὶ γίνεται ὁ τούτων διαμερισμὸς λα καὶ ια/ιθ μιᾶς σπιθαμῆς. Ἐστὶ δὲ τὸ ἐμβαδὸν τούτου χωρητικόν, σπιθαμῶν τετραγώνων λα καὶ ια/ιθ.



Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον σφαιροειδὲς σχῆμαν γωνιῶν λ. Πολλαπλασίασον τὴν τούτου περίμετρον εἰς ἑαυτή. Μέρισόν δε τὸν γεγονότα πολλαπλασιασμόν, πάντοτε μετὰ τῶν ιβ καὶ β/γ, καὶ ὅσος γένηται ὁ τούτων διαμερισμός, (30) τοσούτων σπιθαμῶν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν λ γωνιῶν οὗπερ ἂν ἔχης ζητῶν.

σδ΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν κ, καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

Ἔστω σφαιροειδὲς σχῆμαν γωνιῶν κ, ἐφ’ ἑκάστης σπιθαμῆς α, ὁμοῦ δὲ ἡ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ τετραγωνῖσαι τὸ ἐμβαδὸν τούτου καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν τούτου περίμετρον· κ-κις οὖν κ γίνονται υ. Μέρισον τὰ υ μετὰ τῶν ιβ καὶ ια/ις, καὶ γίνεται ὁ τούτων διαμερισμὸς λα α/β ἔγγιστα. Ἐστὶ δὲ τὸ ἐμβαδὸν τούτου (35) χωρητικὸν σπιθαμῶν τετραγώνων λα α/β ἔγγιστα.



Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον σφαιροειδὲς σχῆμαν γωνιῶν κ. Πολλαπλασίασον τὴν τούτου περίμετρον εἰς ἑαυτή. Μέρισόν δε τὸν γεγονότα πολλαπλασιασμὸν πάντοτε μετὰ τῶν ιβ καὶ ια/ις, (104β)(1) καὶ ὅσος γένηται ὁ τούτων διαμερισμός, τοσούτων σπιθαμῶν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν κ γωνιῶν οὗπερ ἂν ἔχης ζητῶν.

σε΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν ιη καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

Ἔστω σφαιροειδὲς σχῆμαν γωνιῶν ιη ἐφ’ ἑκάστης τούτου πλευρᾶς σπιθαμῆς α καὶ α/θ, ὁμοῦ δὲ ἡ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ τετραγωνῖσαι τὸ ἐμβαδὸν τούτου καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν τούτου περίμετρον· (5) κ-κις οὖν κ γίνονται υ. Μέρισον τὰ υ μετὰ τῶν ιβ καὶ γ/δ καὶ γίνεται ὁ τούτων διαμερισμὸς λα καὶ α/γ βραχύ τι πλείω. Ἐστὶ δὲ τὸ ἐμβαδὸν τούτου χωρητικὸν σπιθαμῶν τετραγώνων λα καὶ α/γ μιᾶς σπιθαμῆς βραχύ τι πλείω.

γωνιῶν ιη

α
β
αζθ
ασυυ
εαα
ε
λα καὶ α/γ

ιθ/να



λα καὶ α/γ πλέον τι

περίμετρος σπιθαμῶν κ

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον σφαιροειδὲς σχῆμαν γωνιῶν ιη. Πολλαπλασίασον τὴν τούτου περίμετρον εἰς ἑαυτή. Μέρισόν δε τὸν γεγονότα πολλαπλασιασμόν, πάντοτε μετὰ τῶν ιβ καὶ γ/δ, καὶ ὅσος γένηται ὁ τούτων διαμερισμός, τοσούτων σπιθαμῶν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν ιη γωνιῶν οὗπερ ἂν ἔχης ζητῶν.

ϛ΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν ις καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

Ἔστω σφαιροειδὲς σχῆμαν (10) γωνιῶν ις, ἐφ’ ἑκάστης τούτου πλευρᾶς σπιθαμῆς α καὶ α/δ, ὁμοῦ δὲ ἡ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ τετραγωνῖσαι τὸ ἐμβαδὸν τούτου καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

α
β
γθγ
βδυυ
ζζζ
ζ
λα και α/ς



Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν τούτου περίμετρον· κ-κις οὖν κ γίνονται υ. Μέρισον τὰ υ μετὰ τῶν ιβ καὶ ε/ς καὶ γίνεται ὁ τούτων διαμερισμὸς λα καὶ α/ς. Ἐστὶ δὲ τὸ ἐμβαδὸν τούτου χωρητικὸν σπιθαμῶν τετραγώνων, λα καὶ α/ς.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον σφαιροειδὲς σχῆμαν γωνιῶν ις. Πολλαπλασίασον τὴν τούτου περίμετρον εἰς ἑαυτή. Μέρισόν δε τὸν γεγονότα (15) πολλαπλασιασμὸν πάντοτε μετὰ τῶν ιβ καὶ ε/ς, καὶ ὅσος γένηται ὁ τούτων διαμερισμός, τοσούτων σπιθαμῶν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν ις γωνιῶν οὗπερ ἂν ἔχης ζητῶν.

σζ΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν ιδ καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

Ἔστω σφαιροειδὲς σχῆμαν γωνιῶν ιδ, ἐφ' ἑκάστης τούτου πλευρᾶς σπιθαμῆς α καὶ γ/ζ, ὁμοῦ ἡ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ τετραγωνῖσαι τὸ ἐμβαδὸν τούτου καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

γωνιῶν ιδ

α

αγε

ρν/ρνε



δηυυ

λ καὶ κθ/λ

αεεε

αε

λ καὶ κθ/λ

περίμετρος σπιθαμῶν κ

Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν τούτου περίμετρον· κ-κις οὖν κ γίνονται υ. Μέρισον τὰ υ μετὰ τῶν ιβ καὶ ια/ιβ, καὶ (20) γίνεται ὁ τούτων διαμερισμὸς λ καὶ κθ/λ, τουτέστι ἔγγιστα λα. Ἐστὶ δὲ τὸ ἐμβαδὸν τούτου χωρητικόν σπιθαμῶν τετραγώνων λα ἔγγιστα.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον σφαιροειδὲς σχῆμαν γωνιῶν ιδ. Πολλαπλασίασον τὴν τούτου περίμετρον εἰς ἑαυτή.

Μέρισόν δε τὸν γεγονότα πολλαπλασιασμὸν πάντοτε μετὰ τῶν ιβ καὶ ια/ιβ, καὶ ὅσος γένηται ὁ τούτων διαμερισμός, τοσούτων σπιθαμῶν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν ιδ γωνιῶν οὗπερ ἂν ἔχης ζητῶν.

ση΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν ιβ καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

αα

δυυ

αγγ   λ ι/ιγ

α

λ καὶ κθ/λ



Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν τούτου περίμετρον· κ-κις οὖν κ γίνονται υ. Μέρισον τὰ υ μετὰ τῶν ιγ, καὶ γίνεται ὁ τούτων διαμερισμὸς λ καὶ ι/ιγ. Ἐστὶ δὲ τὸ ἐμβαδὸν τούτου χωρητικὸν σπιθαμῶν τετραγώνων λ καὶ ι/ιγ μιᾶς σπιθαμῆς.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον σφαιροειδὲς σχῆμαν γωνιῶν ιβ. Πολλαπλασίασον τὴν τούτου περίμετρον εἰς ἑαυτή. Μέρισόν δε τὸν γεγονότα πολλαπλασιασμὸν πάντοτε μετὰ τῶν ιγ, καὶ ὅσος γένηται (30) ὁ τούτων διαμερισμός, τοσούτων σπιθαμῶν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν ιβ γωνιῶν οὗπερ ἂν ἔχῃς ζητῶν.

σθ´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν ι καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

Ἔστω σφαιροειδὲς σχῆμαν γωνιῶν ι, ἐφ’ ἑκάστης τούτου πλευρᾶς σπιθαμῶν β, ὁμοῦ δὲ ἡ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ τετραγωνῖσαι τὸ ἐμβαδὸν τούτου καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

γς

γςυυ ξ/ριη

ααηη λ/αβ

αα

λα και α/β

γωνιῶν ι



περίμετρος σπιθαμῶν κ

Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν τούτου περίμετρον· κ-κις οὖν κ γίνονται υ. Μέρισον τὰ υ μετὰ τῶν ιγ καὶ α/θ καὶ γίνεται ὁ τούτων διαμερισμὸς λ α/β. Ἐστὶ δὲ τὸ ἐμβαδὸν τούτου (35) χωρητικὸν σπιθαμῶν τετραγώνων λ α/β.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον σφαιροειδὲς σχῆμαν γωνιῶν ι. Πολλαπλασίασον τὴν τούτου περίμετρον εἰς ἑαυτή. Μέρισόν δε τὸν γεγονότα πολλαπλασιασμόν, πάντοτε μετὰ τῶν ιγ καὶ α/θ, καὶ ὅσος γένηται (105α)(1) ὁ τούτων διαμερισμός, τοσούτων σπιθαμῶν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν ι γωνιῶν οὗπερ ἂν ἔχης ζητῶν.

σι΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν η καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

Ἔστω σφαιροειδὲς σχῆμαν γωνιῶν η, ἐφ᾽ ἑκάστης τούτου πλευρᾶς σπιθαμῶν β α/β, ὁμοῦ δὲ ἡ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ τετραγωνῖσαι τὸ ἐμβαδὸν τούτου καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

αζ
αβδυυ   ο/υια   λ καὶ α/ς
δααα   πλέον τι
δα
λ καὶ α/ς



Πολλαπλασίασον εἰς ἑαυτὴ (5) τὴν τούτου περίμετρον· κ-κις οὖν κ γίνονται υ. Μέρισον τὰ υ μετὰ τῶν ιγ καὶ η/λα, καὶ γίνεται ὁ τούτων διαμερισμὸς λ καὶ α/ς μιᾶς σπιθαμῆς βραχύ τι πλείω. Ἐστὶ δὲ τὸ ἐμβαδὸν τούτου χωρητικόν, σπιθαμῶν τετραγώνων λ καὶ α/ς μιᾶς σπιθαμῆς βραχύ τι πλείω.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον σφαιροειδὲς σχῆμαν γωνιῶν η. Πολλαπλασίασον τὴν τούτου περίμετρον εἰς ἑαυτή. Μέρισόν δε τὸν γεγονότα πολλαπλασιασμὸν πάντοτε μετὰ τῶν ιγ καὶ η/λα, καὶ ὅσος γένηται ὁ τούτων διαμερισμὸς τοσούτων σπιθαμῶν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν η γωνιῶν οὗπερ ἂν ἔχης ζητῶν.

Καὶ ἄλλως: Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν μίαν πλευρὰν (10) τοῦ σφαιροειδοῦς ὀκταγωνοῦ σχήματος, τουτέστι σπιθαμὰς β α/β, καὶ γίνεται ὁ τούτων πολλαπλασιασμὸς ς α/δ. Διπλασίασον τὰ ς α/δ καὶ γίνονται ιβ α/β. Κράτει ταῦτα ἰδίως. Πολλαπλασίασόν δε ταῦτα τὰ ιβ α/β ἅπερ κρατεῖς ἰδίως, εἰς ἑαυτά, καὶ γίνεται ὁ τούτων πολλαπλασιασμὸς ρνς α/δ. Διπλασίασον ταῦτα· β-ὶς οὖν ρνς α/δ γίνονται τιβ α/β. Ζήτει τὴν ρίζαν τούτων ἥτις ἐστὶ ιζ β/γ βραχύ τι πλείω. Τὰ γὰρ ιζ καὶ β/γ εἰς ἑαυτὰ τεχνικῶς πολλαπλασιαζόμενα πολλαπλασιάζοσιν τιβ καὶ α/θ. Ἕνωσόν δε τὴν ρίζαν τῶν τιβ α/β ἥτις ἐστὶ σπιθαμαὶ ιζ β/γ μιᾶς σπιθαμῆς, μετὰ τῶν ιβ α/β σπιθαμῶν ὧν ἰδίως εἴπομεν κρατεῖν, καὶ γίνονται ὁμοῦ σπιθαμαὶ λ καὶ α/ς μιᾶς σπιθαμῆς βραχύ τι πλείω.

Εὗρες οὖν καὶ διὰ τῆς παρούσης μεταχειρίσεως, ὅτι τὸ ἐμβαδὸν (15) τούτου, ἐστὶ χωρητικὸν σπιθαμῶν τεραγώνων λ καὶ α/ς μιᾶς σπιθαμῆς βραχύ τι πλείω.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον σφαιροειδὲς ἰσόπλευρον γωνιῶν η. Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν μίαν πλευρὰν τοῦ ὀκταγωνοῦ σφαιροειδοῦς σχήματος οὗπερ ἂν ἔχης ζητῶν. Διπλασιασόν δε τὸν γεγονότα πολλαπλασιασμὸν τῆς μίας πλευρᾶς, καὶ ὅσος γένηται ὁ τούτων διπλασιασμός, κράτει τοῦτον ἰδίως. Πολλαπλασίασόν δε τοῦτον τὸν διπλασιασμόν, ὃν ἰδίως κρατεῖς, εἰς ἑαυτό, καὶ ὅσος γένηται ὁ τούτου πολλαπλασιασμός, διπλασίασον πάλιν τοῦτον. Ζήτει δὲ τὴν ρίζαν τοῦ διπλασιασμοῦ τούτου, καὶ ἕνωσον τὴν ρίζαν τούτου μεθ'ὧν εἴπομεν ἰδίως κρατεῖν, καὶ ὅσαι σπιθαμαὶ ἐστὶ ἡ τούτων ὁμάς, τοσούτων σπιθαμῶν τετραγώνων ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς ὀκταγωνοῦ σχήματος οὗπερ ἂν ἔχης ζητῶν.

σια´ Περὶ τοῦ πῶς (20) ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν ς καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

Ἔστω σφαιροειδὲς σχῆμαν γωνιῶν ς, ἐφ' ἑκάστης τούτου πλευρᾶς σπιθαμῶν γ καὶ α/γ μιᾶς σπιθαμῆς, ὁμοῦ δὲ ἡ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ τετραγωνῖσαι τὸ ἐμβαδὸν τούτου καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

α

ζ ις/ϟς

αηης

βηυυ κθ α/ς

θςς

θ

κθ καὶ α/ς

γωνιῶν ς



περίμετρος σπιθαμῶν κ

Πολλαπλασίασον εἰς ἑαυτὴν τὴν τούτου περίμετρον· κ-κις οὖν κ γίνονται υ. Μέρισον τὰ υ μετὰ τῶν ιγ καὶ ε/ζ, καὶ γίνεται ὁ τούτων διαμερισμὸς κθ α/ς. Ἐστὶ δὲ τὸ ἐμβαδὸν τούτου χωρητικόν, σπιθαμῶν τετραγώνων κθ καὶ α/ς.

(25) Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον σφαιροειδὲς σχῆμαν γωνιῶν ς. Πολλαπλασίασον τὴν τούτου περίμετρον εἰς ἑαυτή. Μερισόν δε τὸν γεγονότα πολλαπλασιασμὸν πάντοτε μετὰ τῶν ιγ καὶ ε/ζ, καὶ ὅσος γένηται ὁ τούτων διαμερισμός, τοσούτων σπιθαμῶν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν ς γωνιῶν οὗπερ ἂν ἔχης ζητῶν.

σιβ´ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι ἐμβαδὸν σφαιροειδοῦς σχήματος γωνιῶν ε καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν.

Ἔστω σφαιροειδὲς σχῆμαν γωνιῶν ε, ἐφ' ἑκάστης τούτου πλευρᾶς σπιθαμῶν δ, ὁμοῦ δὲ ἡ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ τετραγωνῖσαι τὸ ἐμβαδὸν τούτου καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

α

ζβ ρκδ/ρπη γωνιῶν ε

αδη περίμετρος

σπιθαμῶν κ



γϛδδ κζ καὶ β/γ

ἔγγιστα

εβυυ

αηηη

αη

κζ καὶ β/γ ἔγγιστα

Πολλαπλασίασον εἰς ἑαυτὴ τὴν τούτου περίμετρον· (30) κ-κις οὖν κ γίνονται υ. Μέρισον τὰ υ μετὰ τῶν ιδ καὶ ϛ/ιγ, καὶ γίνεται ὁ τούτων διαμερισμὸς κζ καὶ β/γ ἔγγιστα. Ἐστὶ δὲ τὸ ἐμβαδὸν τούτου χωρητικόν, σπιθαμῶν τετραγώνων κζ καὶ β/γ ἔγγιστα.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον σφαιροειδὲς σχῆμαν γωνιῶν ε. Πολλαπλασίασον τὴν τούτου περίμετρον εἰς ἑαυτή. Μέρισόν δε τὸν γεγονότα πολλαπλασιασμὸν πάντοτε μετὰ τῶν ιδ καὶ ϛ/ιγ, καὶ ὅσος γένηται ὁ τούτων διαμερισμός, τοσούτων σπιθαμῶν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν ε γωνιῶν οὗπερ ἂν ἔχης ζητῶν.

Ἐὰν δὲ, σφαιροειδὲς σχῆμαν γωνιῶν θ ζητῇς (35) τετραγωνῖσαι, καὶ εἰδέναι τὸ ἐμβαδὸν τούτου πόσου ἐστὶ χωρητικόν, ζήτει τῶν ι γωνιῶν τὸ ἐμβαδὸν ὅπερ ἐστὶ σπιθαμῶν λ α/β. Ζήτει δὲ καὶ τῶν η γωνιῶν ὅπερ ἐστὶ λ καὶ α/ϛ πλείω τι. Λαβὲ δὲ τὸ ἐξ ἀναλόγου τῶν δύο τούτων ἐμβαδῶν ὅπερ ἐστὶ σπιθαμῶν λ καὶ α/γ μιᾶς σπιθαμῆς. Προστιθεμένου γὰρ α/ς ἐπὶ τῶν λ καὶ α/ς, γίνονται (105β)(1) λ καὶ β/ς τουτέστι λ καὶ α/γ.

Ἀφαιρεθέντος δὲ α/ς ἐκ τῶν λ α/β ἀπομένοσιν πάλιν λ καὶ α/γ. Ἐστὶ δὲ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν θ γωνιῶν, σπιθαμῶν τετραγώνων λ καὶ α/γ μιᾶς σπιθαμῆς, καθὼς δηλοῦται διὰ τοῦ ἐξ ἀναλόγου τῶν δύο ἐμβαδῶν τῶν σφαιροειδῶν σχημάτων τῶν ι καὶ η γωνιῶν.

Ἐὰν δὲ καὶ σφαιροειδὲς σχῆμαν γωνιῶν ζ, ζητῇς τετραγωνῖσαι τὸ ἐμβαδὸν τούτου καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν, ζήτει τῶν η γωνιῶν τὸ ἐμβαδὸν ὅπερ ἐστὶ σπιθαμῶν λ καὶ α/ς, ζήτει καὶ τῶν ς γωνιῶν ὅπερ ἐστὶ σπιθαμῶν κθ καὶ α/ς, λαβὲ δὲ τὸ ἐξ ἀναλόγου τῶν δύο τούτων ἐμβαδῶν ὅπερ ἐστὶ σπιθαμῶν κθ καὶ β/γ μιᾶς σπιθαμῆς. (5) Προστιθέμενης γὰρ α/β σπιθαμῆς ἐπὶ τῶν κθ καὶ α/ς, γίνονται κθ β/γ.

Ἀφαιρεθείσης δὲ α/β σπιθαμῆς ἐκ τῶν λ α/γ, ἀπομένοσιν πάλιν κθ β/γ. Ἐστὶ δὲ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ σφαιροειδοῦς σχήματος τῶν ζ γωνιῶν, σπιθαμῶν τετραγώνων κθ καὶ β/γ μιᾶς σπιθαμῆς, καθὼς δηλοῦται διὰ τοῦ ἐξ ἀναλόγου τῶν δύο ἐμβαδῶν τῶν σφαιροειδῶν σχημάτων τῶν η καὶ ς γωνιῶν.

Ὡσαύτως δὲ καὶ ἕτερον τούτων ὅμοιον ζήτημαν σφαιροειδὲς πολύγωνον· εἰ μὲν ἐστὶ ἐξ ὧν γωνιῶν συνγεγράφαμεν, ἔχεις εἰδέναι τὸ ἐμβαδὸν τούτου διὰ τῶν προδηλωθέντων μεταχειρίσεων.

Εἰ δ' ἔστι γωνιῶν κα ἢ ιθ ἢ ιζ ἢ ιε ἢ ιγ ἢ ια ἢ καὶ ὅσων ἄλλων πλειόνων γωνιῶν ἔχεις ζητῆσαι πόσου ἐστὶ χωρητικόν, ἔχεις τοῦτο εἰδέναι δι' οὗ τρόπου καὶ ἐπὶ τῶν θ γωνιῶν, καὶ ζ εἴπομεν.

Ζητήσας γὰρ μεῖζον (10) καὶ ἔλαττο σφαιροειδὲς σχῆμαν, λαβὲ τὸ ἐξ ἀναλόγου τῶν δύο τούτων ἐμβαδῶν, τοῦ μείζονος δηλονότι καὶ ἐλάττονος, καὶ τὸ ἐξ ἀναλόγου τῶν δύο, ἐστὶ τὸ ζητούμενον μέσον σφαιροειδὲς σχῆμαν, ὅπερ ἂν ἔχῃς ζητῶν πόσου ἐστὶ χωρητικόν.

σιγ΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι ἐμβαδὸν τετραγώνου ἰσοπλεύρου ὀρθογωνοῦ καὶ παραλληλογράμμου, πόσου ἐστὶ χωρητικόν.

Ἔστω σχῆμαν τετράγωνον ἰσόπλευρον ὀρθογώνιον, ἑκάστη τούτου πλευρὰ σπιθαμῶν ε, ὁμοῦ δὲ ἡ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ εἰδέναι τὸ ἐμβαδὸν τούτου πόσου ἐστὶ χωρητικόν. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:

Ἡ τούτων πάντων περίμετρος ἐστὶ ἀνὰ σπιθαμῶν κ



Πολλαπλασίασον πρὸς ἀλλήλας τὰς δύο τούτων πλευράς (15) τουτέστι ε μετὰ τῶν ε· ε-κις οὖν ε γίνονται κε. Ἐστὶ δὲ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ ἰσοπλεύρου ὀρθογωνοῦ σχήματος, σπιθαμῶν κε.

Ἔστω δὲ καὶ παραλληλόγραμμον οὐκ ἰσόπλευρον μὲν, ὀρθογώνιόν δε, (20) ὅπερ αἱ μὲν δύο τούτου ἐγκάρσιαι πλευραὶ ἐστὶ ἀνὰ σπιθαμῶν ς, αἱ δὲ δύο ὄρθιαι ἀνὰ σπιθαμῶν δ, ὁμοῦ δὲ ἡ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ εἰδέναι τὸ ἐμβαδὸν τούτου πόσου ἐστὶ χωρητικόν. Πολλαπλασίασον πρὸς ἀλλήλας καὶ τὰς δύο τούτου πλευράς, τὴν ὄρθιον καὶ ἐγκάρσιον· δ-κις οὖν ς γίνονται κδ. Ἐστὶ δὲ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ παραλληλογράμου τούτου, σπιθαμῶν τετραγώνων κδ.

Ἔστω δὲ καὶ παραλληλόγραμμον τετράγωνον οὐκ ἰσόπλευρον μέν, ὀρθογώνιόν δε, ὅπερ αἱ μὲν δύο τούτου ἐγκάρσιαι πλευραί, ἐστὶ ἀνὰ σπιθαμῶν ζ, αἱ δὲ δύο ὄρθιαι ἀνὰ σπιθαμῶν γ, ὁμοῦ δὲ ἡ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ εἰδέναι τὸ ἐμβαδὸν τούτου πόσου ἐστὶ χωρητικόν. Πολλαπλασίασον πρὸς ἀλλήλας καὶ τὰς δύο τούτου πλευράς, τὴν ὄρθιον καὶ τὴν ἐγκάρσιον· γ-ὶς οὖν ζ γίνονται (25) κα. Ἐστὶ δὲ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ παραλληλογράμμου τούτου, σπιθαμῶν τετραγώνων κα.

Ἔστω δὲ καὶ παραλληλόγραμμον τετράγωνον, οὐκ ἰσόπλευρον μέν, ὀρθογώνιόν δε, ὅπερ αἵ μὲν δύο τούτου ἐγκάρσιαι πλευραὶ ἐστὶ ἀνὰ σπιθαμῶν η, αἵ δὲ δύο ὄρθιαι ἀνὰ σπιθαμῶν β, ὁμοῦ δὲ ἥ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ εἰδέναι τὸ ἐμβαδὸν τούτου πόσου ἐστὶ χωρητικόν. Πολλαπλασίασον πρὸς ἀλλήλας καὶ τὰς δύο τούτου πλευράς, τὴν ὄρθιον καὶ τὴν ἐγκάρσιον· β-ὶς οὖν η γίνονται ις. Ἐστὶ δὲ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ παραλληλογράμμου τούτου, σπιθαμῶν τετραγώνων ις.

Ἔστω δὲ παραλληλόγραμμον τετράγωνον, οὐκ ἰσόπλευρον μέν, ὀρθογώνιόν δε, ὅπερ αἵ μὲν δύο τούτου ἐγκάρσιαι πλευραί, ἐστὶ ἀνὰ σπιθαμῶν θ, αἵ δὲ δύο ὄρθιαι (30) ἀνὰ σπιθαμῆς α, ὁμοῦ δὲ ἥ τούτου περίμετρος σπιθαμῶν κ. Ζητεῖς δὲ εἰδέναι τὸ ἐμβαδὸν τούτου πόσου ἐστὶ χωρητικόν. Πολλαπλασίασον πρὸς ἀλλήλας καὶ τὰς δύο τούτου πλευράς, τὴν ὄρθιον καὶ ἐγκάρσιον· ἅπαξ οὖν θ πάλιν ἐστὶ θ. Ἐστὶ δὲ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ παραλληλογράμμου τούτου, σπιθαμῶν τετραγώνων θ.

Πᾶν οὖν τετράγωνον, τετράπλευρον λέγεται. Πᾶν δὲ τρίγωνον, τρίπλευρον λέγεται. Πολύπλευρόν δε τὸ ὑπὸ πλειόνων ἢ τεσσάρων εὐθειῶν περιεχόμενον. Κοινῶς δὲ πᾶν σχῆμαν τὸ ὑπὸ εὐθειῶν γραμμῶν περιεχόμενον εὐθύγραμμον λέγεται.

Τῶν δὲ τετραπλεύρων σχημάτων, τετράγωνον μὲν κυρίως ἐστί, ὃ ἰσόπλευρόν τε ἐστὶ καὶ ὀρθογώνιον, ὡς τὸ πρῶτον. Ἑτερόμηκές δ' ἐστί, ὃ ὀρθογώ(35)νιον μέν, οὐκ ἰσόπλευρόν δε, ὡς τὸ δεύτερον καὶ τὰ λοιπά. Ῥόμβος δὲ ὃ ἰσόπλευρον μέν, οὐκ ὀρθογώνιόν δε, ὡς τὸ παρὸν ἐστὶ ἰσόπλευρον μέν, οὐκ ὀρθογώνιόν δε. Ρομβοειδὲς δὲ τὸ τὰς ἀπεναντίας, πλευράς τε καὶ γωνίας, ἴσας ἀλλήλαις ἔχον, ὃ οὔτε (106α)(1) ἰσόπλευρον ἐστί, οὔτε ὀρθογώνιον, ὡς τὸ παρόν. Εἰ γὰρ παραλληλόγραμμον εἰσὶ ὁ τε ρόμβος καὶ τὸ ρομβοειδές, ἀλλ’ οὐκ ὀρθογώνιον, τὰ δὲ παρὰ ταῦτα τετράγωνα, τραπέζια λέγονται.

Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, τίποτε εἰσὶ παράλληλοι εὐθεῖαι γραμμαί· παράλληλοι οὖν εὐθεῖαι γραμμαὶ εἰσὶ αἵτινες ἐν τῷ αὐτῷ ἐπίπεδῳ οὖσαι, καὶ ἐκβαλλόμεναι εἰς ἄπειρον, ἐφ’ ἑκάτερα τὰ μέρη, ἐπὶ μηδ’ ἕτερα συμπίπτουσιν ἀλλήλων. Παραλληλόγραμον δ’ ἐστὶ σχῆμαν εὐθύγραμμον, τὰς ἀπεναντίον πλευράς τε καὶ γωνίας (5) ἴσας ἀλλήλων ἔχον. Ἐστὶ δὲ αὐτῶν, τὰ μὲν ὀρθογώνια, τὰ δὲ οὐκ ὀρθογώνια, ὥς τὰ ἐκτιθέμενα πάντα τετράγωνα, ἐστὶ παραλληλόγραμμα, ὀρθογώνια τετράπλευρα, τὸ μὲν πρῶτον, ἰσόπλευρον ὀρθογώνιον, τὰ δὲ λοιπὰ εἰσὶ ἑτερομηκὲς ὀρθογώνια. Παραλληλόγραμμον ἰσόπλευρον μὲν οὐκ ὀρθογώνιον δ’ ἐστὶ, ὁ ρόμβος καὶ τὸ ρομβοειδὲς ἅπερ προείπομεν. Τρίγωνόν δε ἰσόπλευρον ἐστὶ τὸ τὰς τρεῖς ἴσας ἔχον πλευράς· ἰσοσκελὲς δὲ τὸ τὰς δύο μόνον ἴσας ἔχον πλευράς. Σκαληνὸν δὲ τὸ τὰς τρεῖς ἀνίσους ἔχον πλευράς.

σιδ΄ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι, τετραγωνοῦ τραπεζίου ἐμβαδόν, πόσου ἐστὶ χωρητικόν.

Ἔστω τετράγωνον ὅπερ εἰώθαμεν καλεῖν τραπέζιον· (10) οὔτε γὰρ παραλληλόγραμμον ἐστί, οὔτε ὀρθογώνιον οὔτε ρόμβος, οὔτε ρομβοειδές.



Ἔστω δὲ ἡ μὲν ἄνωθεν ἐγκάρσιος τούτου πλευρά, σπιθαμῶν γ, ἡ δὲ κάτωθεν σπιθαμῶν θ. Αἱ δὲ δύο ἀποκλίνουσαι λόξιαι, ἔστωσαν ἀνὰ σπιθαμῶν ε. Ζητεῖς δὲ τὸ ἐμβαδὸν τούτου πόσου ἐστὶ χωρητικόν. Ἔχεις δὲ τοῦτο εἰδέναι διὰ τοῦ κανόνος τῆς σκάδρας:

Πολλαπλασίασον εἰς ἑαυτὰ τὰ ς μοδία· ς-κις οὖν ς γίνονται λς. Πολλαπλασίασόν δε εἰς ἑαυτὰ καὶ τὰ δ μοδία· δ-κις δὲ δ γίνονται ις. Ἕνωσον τὰ ις μετὰ τῶν λς καὶ γίνονται ὁμοῦ νβ. (35) Πολλαπλασίασον εἰς ἑαυτὰ καὶ τὰ ι μοδία ἅπερ δέχονται οἱ δύο σάκκοι· ι-κις οὖν ι γίνονται ρ. Ἐὰν οὖν τὰ ι δέχωνται νβ, τὰ ρ πόσα δέξωνται. Ποίησόν δε τοῦτο διὰ τοῦ κανόνος τοῦ διὰ τῶν τριῶν: Πολλαπλασίασον γὰρ τὰ ρ μετὰ τῶν ι· ι-κις οὖν ρ γίνονται ͵α.

α
δγ
εηβ
αυυυ αβ/εβ
εββ
ε
αθ καὶ γ/αγ

Μέρισον ταῦτα μετὰ τῶν νβ καὶ γίνεται ὁ τούτων διαμερισμὸς, ιθ καὶ γ/ιγ. Δέξεταί δε ὁ ἐκ τῶν δύο γενόμενος σάκκος, μοδία ιθ καὶ γ/ιγ ἑνὸς μοδίου.

(113β)(1) Καὶ τὸ ἀνάπαλιν:

Ἔστω δὲ καὶ ἕτερός τις σάκκος ὅστις δέχεται μοδία κ. Γενόμενός δε ὁ εἷς σάκκος, δύο ἴσοι κατὰ πάντα καὶ ὅμοιοι, κατὰ τὸ ὕψος καὶ πλάτος, ζητεῖς εἰδέναι πόσα μοδία ἕκαστος δέξεται.

Πολλαπλασίασον τὸ ἥμισυ τῶν κ μοδίων εἰς ἑαυτό· ι-κις οὖν ι γίνονται ρ. Μέρισον ταῦτα μετὰ τῶν κ μοδίων, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ε· ε-κις γὰρ κ, ρ γίνονται. Ἕκαστος οὖν τῶν δύο σάκκων δέξεται ἀνὰ ε μοδίων.



Μοδία κ Μοδία ε Μοδία ε

Καὶ ἄλλως προχειρεστέρως:

Λάμβανε πάντοτε (5) ἐπὶ τοῦ τοιούτου ζητήματος, τὸ τέταρτον μέρος τῶν μοδίων ὧν δέχεται ὁ σάκκος, καὶ ὅσον ἐστὶ τὸ τέταρτον μέρος τῶν μοδίων ὧν δέχεται ὁ εἷς σάκκος, τοσαῦτα μοδία δέξεται ἕκαστος σάκκος τῶν δύο.

Ἕτερον ζήτημαν:

Ἔστω σάκκος τις καθ' ὕψος οὐργίων γ, ὅστις δέχεται μοδία κ. Βούλει δὲ ποιῆσαι τοῦτον πλατύτερόν τε καὶ θαμαλότερον ὥστε δέχεσθαι μοδία λ. Ζητεῖς δὲ εἰδέναι πόσον γένεται θαμαλότερος, οὕτως γενόμενος. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:



Μοδία κ Μοδία λ

Πολλαπλασίασον τὰς γ οὐργίας τοῦ ὕψους, πρὸς τὰ κ μοδία ἅπερ δέχεται· γ-ὶς οὖν κ γίνονται ξ. Μέρισον ταῦτα μετὰ τῶν λ μοδίων καὶ γίνεται ὁ τούτων διαμερισμὸς β· β-ὶς γὰρ λ, ξ γίνονται. Ἐγένετό δε τὸ ὕψος τούτου οὐργίων β, (10) τουτέστι ἐγένετο θαμαλότερος οὐργία α· β δὲ οὐργίων γενόμενον τὸ ὕψος αὐτοῦ, προστεθείσης τῆς μίας καθ’ ὕψος τούτου οὐργίας, ἐπὶ τὸ πλάτος αὐτοῦ, δέχεται μοδία λ οὕτως γενόμενος.

Καὶ τὸ ἀνάπαλιν:

Ἔστω δὲ ὁ αὐτὸς σάκκος ὅστις δέχεται μοδία λ, ἐστὶ δὲ καὶ τὸ ὕψος αὐτοῦ οὐργίων β. Γενόμενός δε στενότερός τε καὶ ὑψηλότερος, ὥστε δέχεσθαι μοδία κ, ζητεῖς εἰδέναι πόσον γέγονεν ὑψηλότερος, οὕτῳ γενόμενος.

Πολλαπλασίασον τὰς β οὐργίας τοῦ ὕψους πρὸς τὰ λ μοδία· β-ὶς οὖν λ γίνονται ξ. Μέρισον ταῦτα μετὰ τῶν κ μοδίων ὧν βούλει δέχεσθαι καὶ γίνεται ὁ τούτων διαμερισμὸς γ· γ-ὶς γὰρ κ, ξ γίνονται. Γίνεταί δε τὸ ὕψος αὐτοῦ οὐργίων γ. Οὕτῳ δὲ γενόμενος, στενότερός τε καὶ ὑψηλότερος, δέχεται μοδία κ.

Ἕτερον ζήτημαν:

Ἔστω ὁ αὐτὸς σάκκος ὁ ἔχων ὕψος οὐργίων γ, δέχεταί δε μοδία κ. (15) Γενόμενός δε πλατύτερός τε καὶ θαμαλότερος, ὥστε γενέσθαι καθ’ ὕψος οὐργίων β, ζητεῖς εἰδέναι πόσα μοδία πλείω τῶν κ δέξεται, οὕτῳ γενόμενος.

Πολλαπλασίασον τὰς γ οὐργίας ἃς νῦν ἔχει ὕψος, μετὰ τῶν κ μοδίων ὧν νῦν δέχεται· γ-ὶς οὖν κ γίνονται ξ. Μέρισον ταῦτα μετὰ τῶν β οὐργίων ὧν βούλει ποιῆσαι τὸ αὐτοῦ ἔλαττο ὕψος, καὶ γίνεται ὁ τούτων διαμερισμὸς λ· β-ὶς γὰρ λ, ξ γίνονται· λ οὖν μοδία δέξεται, γενόμενον τὸ ὕψος αὐτοῦ οὐργίων β, ὅστις ὂν καθ’ ὕψος οὐργίων γ ἐδέχετο μοδία κ.

Καὶ τὸ ἀνάπαλιν:

Ἔστω ὁ αὐτὸς σάκκος ὁ ἔχων ὕψος οὐργίων β, δέχεταί δε μοδία λ, γενόμενός δε στενότερός τε καὶ ὑψηλότερος ὥστε γενέσθαι τὸ ὕψος αὐτοῦ οὐργίων γ, ζητεῖς εἰδέναι πόσα μοδία ἐλάττω τῶν λ δέξεται οὕτῳ γενόμενος.

Πολλαπλασίασον τὰς β οὐργίας ἃς νῦν ἔχει ὕψος, μετὰ τῶν λ μοδίων ὧν νῦν δέχεται· β-ὶς οὖν λ, γίνονται ξ. Μέρισον (20) ταῦτα μετὰ τῶν γ οὐργίων ὧν βούλει ποιῆσαι τὸ αὐτοῦ μεῖζον ὕψος, καὶ γίνεται ὁ τούτων διαμερισμὸς κ· γ-ὶς γὰρ κ, ξ γίνονται· κ οὖν μοδία δέξεται, γενόμενον τὸ ὕψος αὐτοῦ οὐργίων γ, ὅστις ὂν καθ' ὕψος οὐργίων β, ἐδέχετο μοδία λ.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν σάκκων, ὧν εἴπομεν διὰ τῶν δηλωθέντων μεταχειρίσεων ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

σλβ΄ Περὶ τοῦ πῶς ἐστὶ, διὰ τοῦ πλάτους καὶ μήκους, τοῦ σιτοδόχου οἴκου, καὶ τὸ ὕψος τούτου εἰδέναι πόσων οὐργίων ἐστί, ἐνῶ καὶ πόσα μοδία δέξεται.

Ἔστω τις σιτοδόχος οἶκος, κατὰ μὲν πλάτος οὐργίων γ, κατὰ μῆκος δὲ οὐργίων θ. Ἐστὶ δὲ πληρέστατος σίτου, ὡς οἱ μοδίων μεγάλων, ἅυνη. Ζητεῖς δὲ εἰδέναι τὸ ὕψος τοῦ σιτοδόχου τούτου οἴκου, πόσων οὐργίων ἐστί. Ἔχεις δὲ (25) τοῦτο εἰδέναι οὕτως:

δ α/β



Μῆκος οὐργίων θ. Δέχεται μοδία ͵αυνη. γ

βαγ ς/αβ	βζ βζ/εδ
αδεη	βδγ
αβββ	εδ
αα	
αβα καὶ α/β	δ καὶ α/β

Ζήτει πρῶτον οὐργίαν μίαν τετράγωνον πόσα μοδία δέχεται. Ἔστω τοίνυν ὅτι ἑκάστη οὐργία τετράγωνος δέχεται μοδία ιβ. Ἐπεὶ οὖν ἑκάστη οὐργία δέχεται μοδία ιβ, μέρισον τὰ ͵αυνη μοδία μετὰ τῶν ιβ μοδίων ὧν δέχεται ἑκάστη οὐργία, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ρκα α/β. Ἐστὶ δὲ ὁ ὅλος σιτοδόχος οἶκος δεκτικὸς οὐργίων τετραγώνων ρκα α/β. Πολλαπλασίασον τὰς θ οὐργίας τοῦ μήκους πρὸς τὰς (30) γ τοῦ πλάτους· θ-κις οὖν γ γίνονται κζ. Μέρισον τὰς ρκα α/β οὐργίας μετὰ τῶν κζ καὶ γίνεται ὁ τούτων διαμερισμὸς δ α/β. Ἐστὶ δὲ τὸ ὕψος τοῦ σιτοδόχου τούτου οἴκου, οὐργίων δ α/β.

Ἕτερον ζήτημαν:

Ἔστω ὁ αὐτὸς σιτοδόχος οἶκος κενός. Ζητεῖς εἰδέναι πόσα μοδία τοιούτου μεγέθους δέξεται, πρὸς τὸ γενέσθαι πληρέστατος σίτου.

Πολλαπλασίασον πάλιν τὰς κατὰ μῆκος θ οὐργίας πρὸς τὰς κατὰ πλάτος γ οὐργίας· θ-κις οὖν γ πάλιν γίνονται κζ. Πολλαπλασίασόν δε καὶ τὰς κζ οὐργίας πρὸς τὰς δ α/β οὐργίας τοῦ ὕψους· κζ-κις οὖν δ α/β γίνονται ρκα α/β. Ἐπεὶ δὲ οἶδας ὅτι ἑκάστη οὐργία δέχεται μοδία ιβ, πολλαπλασίασον τὰ ιβ μοδία τῆς μίας τετραγώνου οὐργίας, πρὸς τὰς ρκα α/β τοῦ οἴκου· ιβ-κις οὖν ρκα α/β, (35) γίνονται ͵αυνη. Δέξεταί δε ὁ σιτοδόχος οὗτος οἶκος μοδία ͵αυνη.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας μεταχειρίσεως, ἔχεις εἰδέναι πόσα μοδία δέξεται ὁ σιτοδόχος οἶκος, καὶ πόσον ἐστὶ τὸ ὕψος τοῦ σιτοδόχου οἴκου οὗπερ ἂν ἔχῃς ζητῶν.

Ἕτερον τούτου ὅμοιον ζήτημαν ἐπὶ ὕδατος:

Ἔστω γηστέρνα τις (114α)(1) ἥτις ἐστὶ κατὰ μῆκος μὲν οὐργίων η, κατὰ πλάτος δὲ οὐργίων γ, τὸ δὲ βάθος ταύτης, ἔστω οὐργίων β α/β. Ἐστὶ δὲ πλήρους ὕδατος. Ζητεῖς δὲ εἰδέναι πόσα μέτρα ὕδωρ ἔχει ἐντός. Ζήτει οὖν πρῶτον πόσα μέτρα δέξεται οὐργία μία, τετράγωνος. Ἔστω δὲ ὅτι οὐργία μία τετράγωνος κατά τε πλάτος καὶ μῆκος καὶ βάθος, δέξεται μέτρα ρ ἢ καὶ ὅσα ἂν εἴπης ἐλάττω ἢ πλείονα.



Τὸ βάθος οὐργίαι β α/β. Πλάτος γ. Δέχεται μέτρα ς.

Πολλαπλασίασόν δε τὸ μῆκος ταύτης πρὸς τὸ πλάτος· (5) η-κις οὖν γ, γίνονται κδ. Πολλαπλασίασόν δε ταύτας τὰς κδ οὐργίας πρὸς τὰς β α/β οὐργίας τοῦ βάθους· κδ-κις οὖν β α/β γίνονται ξ· ξ οὖν οὐργίας τετραγώνους ποιεῖ τὸ ὅλον σῶμα ταύτης. Ἐπεὶ δὲ εἴπομεν ὅτι ἑκάστη οὐργία δέξεται μέτρα ρ, ρ-κις ξ γίνονται ͵ς. Δέξεταί δε τὸ ὅλον σῶμα ταύτης, μέτρα ͵ς.

Εἰ οὖν τὸ μῆκος οἶδας οὐργίων η, τὸ δὲ πλάτος οὐργίων γ, δέξεταί δε καὶ μέτρα ͵ς, τὸ δὲ βάθος οὐκ οἶδας πόσων οὐργίων ἐστί, ζητεῖς δὲ τοῦτο εἰδέναι, ἔχεις δὲ τοῦτο εἰδέναι δι’ οὗ τρόπου ἐπὶ τοῦ ὕψους τοῦ σιτοδόχου οἴκου εἴπομεν.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτων ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

σλγ´ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι πόσον ὕδωρ ἐξεχύθη ἐκ τοῦ

(10) φρέατος, διὰ τὸ πεσεῖν ἐντὸς τούτου, κίων στρογγυλὸς καθ’ ὕψος οὐργίων ιδ-ων.

Ἔστω φρέαρ ὕδατος πεπληρωμένον, τὸ βάθος αὐτοῦ οὐργίων ις, τετράγωνόν δε ἰσόπλευρον ὄν. Ἔστω ἑκάστη τούτου πλευρὰ οὐργίων γ, ὁμοῦ δὲ ἡ περίμετρος τῶν τεσσάρων τούτου πλευρῶν οὐργίων ιβ. Ἔστω δὲ ὅτι πέπτωκεν ἐντὸς τοῦ φρέατος τούτου, κίων τις στρογγυλός, ὅστις καθ’ ὕψος μὲν ἔστω οὐργίων ιδ, τὸ δὲ τῆς διαμέτρου τούτου πλάτος, οὐργίων β. Ζητεῖς δὲ εἰδέναι, πόσον ὕδωρ ἐφθάρει τε καὶ ἐξεχύθην διὰ τῆς τοῦ κίονος εἰσβολῆς. Ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως:



<u>αα</u> αβ

δδ δ δδ β/αδ

αδ

γ καὶ α/ζ

Τετραγώνισον πρῶτον τὸ φρέαρ, καὶ ζήτει πόσαι οὐργίαι γίνονται τετρά(15)γωναι. Πολλαπλασίασον γὰρ τὴν μίαν τούτου πλευρὰν πρὸς τὴν ἑτέραν· γ-ὶς οὖν γ γίνονται θ. Πολλαπλασίασόν δε διὰ τῶν θ τούτων οὐργίων, τὰς κατὰ βάθος ις οὐργίας τοῦ φρέατος· θ-κις οὖν ις γίνονται ρμδ. Ἐστὶ δὲ ὁ τετραγωνισμὸς τοῦ ὅλου σώματος τοῦ φρέατος, οὐργίων ρμδ. Τετραγώνισον καὶ τὸν κίονα ὡς εἰώθαμεν τετραγωνίζειν τὸν κύκλον. Πολλαπλασίασον γὰρ εἰς ἑαυτὴν τὴν τούτου διάμετρον ἥτις ἐστὶ οὐργίων β· β-ὶς οὖν β γίνονται δ. Λαβὲ δὲ ια/ιδ τῶν δ, ἅπερ ια/ιδ τῶν δ ἐστὶ γ καὶ α/ζ. Πολλαπλασίασόν δε ταῦτα τὰ γ καὶ α/ζ μετὰ τοῦ ὕψους (20) τῶν ιδ οὐργίων τοῦ κίονος· ιδ-κις οὖν γ καὶ α/ζ, γίνονται μδ. Ἐστὶ δὲ ὁ τετραγωνισμὸς τοῦ ὅλου σώματος τοῦ κίονος οὐργίων μδ. Ἄφελε ταύτας τὰς μδ τετραγώνους οὐργίας τοῦ κίονος, ἐκ τῶν ρμδ οὐργίων τοῦ φρέατος, καὶ ἀπομένοσιν οὐργίαι ι. Διὰ γ' οὖν τῆς ἐντὸς τοῦ φρέατος πτώσεώς τε καὶ εἰσβολῆς τοῦ κίονος, διεφθάρει καὶ ἐξεχύθη ὕδωρ οὐργίων τετραγώνων μδ. Ἐναπέμεινέν δε ἐντὸς τοῦ φρέατος, ὕδωρ οὐργίων τετραγώνων ρ. Ἡ δὲ τετράγωνος οὐργία εἴπομεν ὅτι δέχεται μέτρα ρ, ἢ ὅσα ἂν ἔχης εἰπεῖν πλείω ἢ ἐλάττω.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν φρεάτός τε καὶ κίονος, διὰ τῆς παρούσης μεταχειρίσεως ἔχεις εἰδέναι (25) καλῶς τὸ ζητούμενον.

Ἕτερον ζήτημαν:

Ἔστω φρέαρ σφαιροειδῆ κατὰ πλάτος, τὸ μὲν βάθος αὐτοῦ οὐργίων δ, ἡ δὲ τούτου διάμετρος οὐργίων γ. Ἐστὶ δὲ ὕδατος πεπληρωμένον. Ἔστω δὲ ὅτι πέπτωκεν ἐντὸς τοῦ φρέατος τούτου λίθος σφαιροειδὴς κατὰ πάντα, ὃς ἐστὶ ἡ τούτου περίμετρος οὐργίων ς καὶ β/ζ μιᾶς οὐργίας, ἡ δὲ τούτου διάμετρος μὴ φαινομένη ἐστὶ ἄγνωστος. Ἔχεις δὲ ταύτη εἰδέναι ἐκ τῆς περιμέτρου τῶν ς καὶ β/ζ ὅτι ἐστὶ οὐργίων β. Ζητεῖς δὲ εἰδέναι πόσον ὕδωρ ἐφθάρει τε καὶ ἐξεχύθη διὰ τῆς τοῦ σφαιροειδοῦς λίθου εἰσβολῆς. Ἔχεις δὲ καὶ τοῦτο εἰδέναι διὰ τῶν δύο κανόνων, τὸν κύκλον τε καὶ τὴν σφαίραν τετρα(30)γωνιζόντων.



Περίμετρος ς καὶ β/ζ

Βάθος οὐργίων δ

Πολλαπλασίασον γὰρ εἰς ἑαυτὴ τὴν τῶν γ οὐργίων διάμετρον τοῦ φρέατος· γ-ὶς οὖν γ γίνονται θ. Λαβὲ δὲ ια/ιδ τῶν θ ἅπερ ἐστὶ ζ καὶ α/ιδ. Πολλαπλασίασόν δε διὰ τῶν ζ καὶ α/ιδ τὰς κατὰ βάθος δ οὐργίας τοῦ φρέατος· δ-κις οὖν ζ καὶ α/ιδ γίνονται κη καὶ δ/ιδ, τουτέστι κη καὶ β/ζ μιᾶς τετραγώνου οὐργίας. Τετραγώνισον καὶ τὸν κατὰ πάντα σφαιροειδῆ λίθον. Πολλαπλασίασον γὰρ εἰς ἑαυτὴ τὴν τῶν β οὐργίων τούτου διάμετρον, ἣν εὗρες ἐκ τῆς περιμέτρου τῶν ς καὶ β/ζ οὐργίας μιᾶς· β-ὶς οὖν β γίνονται δ. Πάντοτέ δε ἐπὶ τοῦ παρόντος ζητήματος λάμβανε α/ς τοῦ γεγονότος πολλαπλασιασμοῦ τῆς διαμέτρου τῆς ζητουμένης σφαίρας. Νῦν δὲ τὸ α/ς τῶν δ ἐστὶ β/γ μιᾶς ἀκεραίου (35) οὐργίας· ς-κις γὰρ β/γ γίνονται ἀκέραια δ. Πολλαπλασίασόν δε τὰ β/γ μετὰ τῆς περιμέτρου τῶν ς καὶ β/ζ οὐργίας μιᾶς. Γίνεταί δε ὁ τούτων πολλαπλασιασμὸς δ καὶ δ/κα. Ἐστὶ δὲ ὁ τετραγωνισμὸς τοῦ ὅλου σώματος τοῦ σφαιροειδοῦς λίθου, οὐργίων τετραγώνων δ καὶ δ/κα μιᾶς τετραγώνου οὐργίας. Ἄφελε δ καὶ δ/κα ἐκ τῶν κη καὶ β/ζ, καὶ ἀπομένοσιν κδ καὶ β/κα. (114β)(1) Διὰ γ' οὖν τῆς ἐντὸς τοῦ φρέατος πτώσεώς τε καὶ εἰσβολῆς τοῦ σφαιροειδοῦς λίθου, ἐφθάρει καὶ ἐξεχύθη ὕδωρ οὐργίων τετραγώνων δ καὶ δ/κα μιᾶς οὐργίας. Ἐναπέμεινέν δε ἐντὸς τοῦ φρέατος ὕδωρ οὐργίων τετραγώνων κδ καὶ β/κα μιᾶς οὐργίας.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν, διὰ τῆς ὁμοίας μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

σλε´ Περὶ τοῦ πῶς ἐστὶ εἰδέναι οἰνοδόχον ἄγγος τὸ κοινῶς βουτζίν καλούμενον τῷ ὄντι σανίδων λ, δεχόμενόν δε καὶ μέτρα λ, γενόμενόν δε, σανίδων κ, πόσα μέτρα ἔλαττω τῶν λ δέξεται.

Ἔστω οἰνοδόχον ἄγγος τὸ κοινῶς βουτζίον καλούμενον, ὅπερ ἔχει σανίδας λ, δέχεταί δε καὶ μέτρα λ. Ἀφαιρεθέντων δὲ σανίδων ι καὶ γενόμενον σανίδων κ, ζητεῖς εἰδέναι πόσα μέτρα ἔλαττω τῶν λ δέξεται. Ἔχεις δὲ τοῦτο εἰδέναι διὰ τεσσάρων μεταχειρίσεων.

σανίδων λ, μέτρα λ σανίδων κ, μέτρα ιγ α/γ



Καὶ πρώτη μὲν μεταχείρισις ἐστὶ τετραγωνῖσαι (30) τὴν τῶν λ καὶ κ σανίδων περίμετρον ὡς εἰώθαμεν ἐπὶ τοῦ κύκλου ποιεῖν. Πολλαπλασίασον γὰρ τὰς λ σανίδας καὶ κ εἰς ἑαυτάς· λ-κις οὖν λ γίνονται ϡ, κ-κις δὲ κ γίνονται υ. Μέρισον τὰ ϡ καὶ τὰ υ μετὰ τῶν ιβ δ/ζ ,καθὼς εἰώθαμεν ἐκ τῆς περιμέτρου τετραγωνίζειν τὸν κύκλον. Καὶ τῶν μὲν ϡ ὁ διαμερισμὸς γίνεται οα καὶ ιγ/κβ, τῶν δὲ υ ὁ διαμερισμὸς γίνεται λα καὶ θ/ια. Ἐὰν οὖν τὰ οα καὶ ιγ/κβ γίνωνται μέτρα λ, τὰ λα καὶ θ/ια γίνονται μέτρα ιγ καὶ α/γ. Πολλαπλασίασον γὰρ τὰ λ μέτρα μετὰ τῶν λα θ/ια καὶ γίνεται ὁ τούτων πολλαπλασιασμὸς ϡνδ ς/ια. Μέρισον ταῦτα διὰ τῶν οα ιγ/κβ ὡς εἰώθαμεν ποιεῖν διὰ τοῦ κανόνος τοῦ διὰ τῶν τριῶν καὶ γίνεται ὁ τούτων μερισμὸς ιγ α/γ.

ε	ζ
ας	αη
ζδβ εβ/ηη	δςβ
ςγυυ	βηυυ
ηηη	ηηη
η	η
ζα αγ/ββ	γα θ/αα

Ὃν γὰρ λόγον ἔχοσιν τὰ λ μέτρα πρὸς τὸν τετραγωνισμὸν (35) τῶν οα καὶ ιγ/κβ, τὸν αὐτὸν ἔχοσιν καὶ τὰ ιγ α/γ πρὸς τὸν τετραγωνισμὸν τῶν λα θ/ια. Δέχεταί δε τῶν κ σανίδων τὸ βουτζίν, μέτρα ιγ καὶ α/γ ἑνὸς μέτρου. Τοῦτο δὲ ἀσαφὲς καὶ ἄχρηστον ἐπιχείρημα ἐπὶ τοῦ παρόντος ζητήματος, δι' ὃ ἐπὶ τὴν δευτέραν ἔλθωμεν μεταχείρισιν, ἥτις (115β)(1) ἐστὶ αὐτή. Πολλαπλασίασον τὰς λ καὶ κ σανίδας εἰς ἑαυτάς· λ-κις οὖν λ γίνονται ϡ, κ-κις δὲ κ γίνονται υ. Εἰ οὖν αἱ λ σανίδαι δέχωνται μέτρα ϡ, αἱ υ σανίδαι πόσα μέτρα δέξωνται; Πολλαπλασίασον τὰς λ σανίδας τοῦ μείζονος βουτζίου, μετὰ τῶν υ σανίδων· λ-κις οὖν υ γίνονται ͵ι͵β.

γγ	αα
αβυυυ γυυ/θυυ	δυυ αυ/γυ
θυυυ	γυυ
θυ	γ
αγ α/γ	αγ α/γ

Μέρισον ταύτας τὰς ͵ι͵β μετὰ τῶν ϡ μέτρων, ὧν εἴπομεν, ἐὰν αἱ λ σανίδαι δέχωνται μέτρα ϡ, αἱ υ σανίδαι πόσα δέξωνται, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιγ καὶ α/γ. Καὶ ἰδοὺ καὶ οὕτως προχειρεστέρως καὶ σαφεστέρως εὗρες διὰ τῆς παρούσης δευτέρας μεταχειρίσεως, ὅτι ἐὰν αἱ λ σανίδαι δέχωνται μέτρα λ, αἱ κ σανίδαι δέξωνται μέτρα ιγ καὶ α/γ ἑνὸς μέτρου.

Ἡ δὲ τρίτη μεταχείρισις ἥτις ἐστὶ προχειρεστέρα: Πολλαπλασίασον εἰς ἑαυτὰς τὰς κ σανίδας τοῦ ἐλάττονος βουτζίου· κ-κις οὖν κ γίνονται υ. Μέρισον ταῦτα τὰ υ μετὰ τῶν λ σανίδων τοῦ μείζονος βουτζίου, καὶ γίνεται ὁ τούτων διαμερισμὸς πάλιν ιγ καὶ α/γ.

Ἡ δευτέρα οὖν καὶ αὐτὴ ἡ τρίτη προχειρεστέρα μεταχείρισις, γίνονται οὕτως ὡς εἴπομεν, ὅταν αἱ λ σανίδαι δέχωνται καὶ μέτρα λ, καὶ αἱ μ σανίδαι καὶ μέτρα μ, καὶ ἑξῆς ὁμοίως. Ὅταν δὲ ἀνωμάλως ἔχωσιν, καὶ δέχονται αἱ λ σανίδαι μέτρα λε ἢ καὶ μ ἢ ὅσα ἂν πλείω ἢ ἐλάττω βούλη εἰπεῖν, οὐκ ἔχεις διὰ τῶν δύο μεταχειρίσεων τῆς δευτέρας τε καὶ τῆς τρίτης, εἰδέναι καλῶς τὸ ζητούμενον.

Ἐστὶ δὲ ἑτέρα τετάρτη τις μεταχείρισις, ἐπὶ πάντων ἔχουσα τὸ ἀσφαλές τε καὶ πρόχειρον. Πολλαπλασίασον τὰς λ σανίδας εἰς ἑαυτὰς ὡς καὶ ἐπὶ τῶν ἄλλων μεταχειρίσεων εἴπομεν· λ-κις οὖν λ γίνονται ϡ. Πολλαπλασίασον καὶ τὰς κ σανίδας εἰς ἑαυτάς· κ-κις οὖν κ γίνονται υ. Ζήτει τίς ἂν μερισθὴς ἔχει μερῖσαι τὰ ϡ, πρὸς τὸ γενέσθαι ὁ τούτων μερισμὸς λ. Ἔχεις δὲ τοῦτον εἰδέναι διὰ τῆς παρούσης μεταχειρίσεως: Μέρισον τὰ ϡ μετὰ τῶν λ, ὧν ζητεῖς γενέσθαι ὁ μερισμὸς τῶν ϡ μέτρα λ. Τὰ ϡ δέ, μετὰ τῶν λ μέτρων μεριζόμενα, γίνεται ὁ τούτων διαμερισμὸς πάλιν λ.

	αα
θυυ	δυυ αυ/γυ
γυυ	γυυ
γ	γ
γυ	αγ α/γ

Καὶ ἰδοὺ εὗρες ὃν μερισθὴν ζητεῖς πρὸς τὸ μερῖσαι τὰ ϡ καὶ γενέσθαι ὁ μερισμὸς τῶν ϡ, μέτρα λ. Τὰ γὰρ ϡ, ἔχοντα μερισθὴν λ, ὁ διαμερισμὸς τούτων γίνεται πάλιν λ. Μέρισον καὶ τὰς υ σανίδας μετὰ τοῦ τοιούτου μερισθοῦ, τῶν λ δηλονότι, δι’ οὗ καὶ τὰ ϡ μεριζόμενα ὁ διαμερισμὸς τούτων πάλιν γίνεται λ, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιγ α/γ, καθὼς καὶ ἐπὶ τῶν προγενεσθέρων μεταχειρίσεων οὕτως εὗρες.

Ἵνα δὲ σαφέστερον ὑμῖν γένηται τὸ λεγόμενον, ἔστω ὅτι ζητεῖς εἰδέναι, ἐὰν λ σανίδαι δέχωνται μέτρα μ, αἱ κ σανίδαι πόσα μέτρα δέξωνται, πολλαπλασίασον πάλιν τὰς λ σανίδας καὶ κ εἰς ἑαυτάς· λ-κις οὖν λ γίνονται ϡ, κ-κις δὲ κ γίνονται υ.

		γ
γζ		γε/δε
αβ	β	δεε
θυυ βυ/δυ	αηυυ	ηυυ
δυυ	δεε	δεε
δ	δ	δ
ββ α/β	δυ	αζ ζ/θ

Ζήτει τίς ἂν μερισθὴς ἔχει μερῖσαι τὰ ϡ πρὸς τὸ γενέσθαι (20) ὁ τούτων διαμερισμὸς μ. Μέρισον τὰ ϡ μετὰ τῶν μ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κβ α/β.

Καὶ ἰδοὺ μετὰ τῶν κβ α/β μεριζόμενα τὰ ϡ, γίνεται ὁ τούτων διαμερισμὸς μ. Μέρισον γὰρ τὰ ϡ μετὰ τῶν κβ α/β, ταυτὸν δ’ εἰπεῖν τὰ ͵αω μισὰ μετὰ τῶν με μισῶν, καὶ γίνεται ὁ τούτων διαμερισμὸς μ. Μέρισον καὶ τὰ υ ἅπερ ἐπολλαπλασίασαν αἱ κ σανίδαι, μετὰ τῶν κβ α/β ὧν ἐμέρισας καὶ τὰ ϡ, τουτέστι μέρισον τὰ ω μισὰ μετὰ τῶν με μισῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιζ ζ/θ. Εὗρες οὖν ὅτι ἐὰν λ σανίδαι (25) δέχωνται μέτρα λ, αἱ κ σανίδαι δέξωνται μέτρα ιζ ζ/θ ἑνὸς μέτρου.

Καὶ τὸ ἀνάπαλιν.

Ἔστω ὅτι ζητεῖς τὸ ἀνάπαλιν. Ἐὰν τῶν κ σανίδων τὸ βουτζὶν δέχεται μέτρα ιζ καὶ ζ/θ ἑνὸς μέτρου, τῶν λ σανίδων πόσα μέτρα δέξεται;

Πολλαπλασίασον πάλιν τὰς λ καὶ κ σανίδας εἰς ἑαυτάς· λ-κις οὖν λ γίνονται ϡ, κ-κις δὲ κ γίνονται υ. Ζήτει τίς ἂν μερισθὴς ἔχῃ μερῖσαι τὰ υ πρὸς τὸ γενέσθαι ὁ τούτων διαμερισμὸς ιζ ζ/θ. Μέρισον τὰ υ μετὰ τῶν ιζ καὶ ζ/θ, καὶ τὰ μὲν υ γίνονται ͵γχ ἔννατα, τὰ δὲ ιζ καὶ ζ/θ γίνονται ρξ ἔννατα.

	γ	
β	γζ	
αδη ηu/αςu	δεε γε/δε	β
γςuu	ηuu	αηuu
ας	δεε	δεε
	δ	δ
ββ α/β	αζ ζ/θ	δu

Μέρισον τὰ ͵γχ ἔννατα μετὰ τῶν ρξ ἐννάτων καὶ γίνεται ὁ τούτων διαμερισμὸς κβ α/β. Καὶ ἰδοὺ (30) μετὰ τῶν κβ α/β μεριζόμενα τὰ υ, γίνεται ὁ τούτων διαμερισμὸς ιζ ζ/θ. Μέρισον γὰρ τὰ ω μισὰ μετὰ τῶν με μισῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιζ ζ/θ. Μέρισον καὶ ἀντὶ τῶν ϡ ἀκεραίων τῶν λ σανίδων ͵αω μισά, μετὰ τῶν με μισῶν τῶν κβ α/β, καὶ γίνεται ὁ τούτων διαμερισμὸς μ. Εὗρες οὖν διὰ τῆς παρούσης μεταχειρίσεως, ὅτι ἐὰν τῶν κ σανίδων τὸ βουτζὶν δέχεται μέτρα ιζ καὶ ζ/θ ἑνὸς μέτρου, τῶν λ σανίδων δέξεται μέτρα μ, ὥσπερ καὶ τὸ ἀνάπαλιν, ἐὰν τῶν λ σανίδων δέχεται μέτρα μ, τῶν κ σανίδων δέξεται μέτρα ιζ ζ/θ.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν. Εἰ μὲν μ σανίδαι ἐστὶ καὶ μ μέτρων, καὶ ἑξῆς ὁμοίως, ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον καὶ διὰ τῆς παρούσης μεταχειρίσεως, καὶ διὰ τῶν προγενεσθέρων (35) ὧν δεδηλώκαμεν. Εἰ δὲ ἀνωμάλως ἔχωσιν τὰ μέτρα τῶν σανίδων, σανίδαι μὲν κ, μέτρα δὲ κε ἢ καὶ ιε, τουτέστι πλείω ἢ ἐλάττω, οὐκ ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον διὰ τῶν προδηλωθέντων μεταχειρίσεων, ἢ μόνον, μετὰ τῆς παρούσης τελευταίας τετάρτης μεταχειρίσεως ἧς εἴπομεν.

(116α)(1) σλς΄ Περὶ τοῦ πῶς ἐστὶ τετραγωνῖσαι οἰνοδόχον πῖθον καὶ εἰδέναι πόσα μέτρα οἶνον ἔχει ἐντός.

Ἔστω τις πῖθος σφαιροειδὴς κατὰ πάντα, οἴνου πεπληρωμένος. Ζητεῖς δὲ εἰδέναι πόσα μέτρα οἶνον ἔχει ἐντός. Ἔχεις δὲ τοῦτο εἰδέναι διὰ τῆς μεταχειρίσεως τοῦ σφαιροειδοῦς λίθου τοῦ ἐπὶ τοῦ φρέατος πεπλωκότος.



Ἔστω γὰρ ἡ περὶ τὰ μέσα τούτου περίμετρος οὐργίων γ καὶ α/ζ οὐργίας μιᾶς. Τὰ δὲ γ καὶ α/ζ ἐστὶ ἕβδομα κβ. Μέρισον ταῦτα μετὰ τῶν κβ/ζ καθὼς εἰώθαμεν οὕτως λαμβάνειν ἐκ τῆς περιμέτρου (5) τὴν διάμετρον, καὶ γίνεται ὁ τούτων διαμερισμὸς α ἀκέραιον. Τὰ γὰρ κβ μετὰ τῶν κβ μεριζόμενα, α ἀκέραιον γίνεται. Ἐστὶ δὲ ἡ διάμετρος τούτου οὐργία α. Πολλαπλασίασόν δε εἰς ἑαυτὴ ταύτη τὴν μίαν οὐργίαν ἥτις ἐστὶ ἡ τοῦ πίθου διάμετρος · ἅπαξ οὖν α πάλιν ἐστὶ α. Λαβὲ α/ς τοῦ α ὅπερ ἐστὶ πάλιν α/ς. Πολλαπλασίασόν δε τὴν περίμετρον ἥτις ἐστὶ οὐργίαι γ καὶ α/ζ μετὰ τοῦ α/ς. Ἔχεις δὲ ταῦτα πολλαπλασιᾶσαι οὕτως: Πολλαπλασίασον τὸ α/ς μετὰ τῶν γ ἀκεραίων· γ-ὶς οὖν α/ς γίνονται γ/ς. Πολλαπλασίασόν δε καὶ τὸ α/ζ μετὰ τοῦ α/ς, τουτέστι τὰς ἄνωθεν καὶ κάτωθεν ψήφους· ἅπαξ οὖν α πάλιν ἐστὶ α· ς-κις δὲ ζ γίνονται μβ, (10) ἅπερ οὕτως κείμενα α/μβ δηλῶσιν α τεσσαρακοστὸν δεύτερον. Ἕνωσόν δε τὸ α/μβ μετὰ τῶν γ/ς, ταυτὸν δ' εἰπεῖν κα/μβ καὶ γίνονται ὁμοῦ κβ/μβ. Καὶ ἰδοὺ τὰ γ καὶ α/ζ μετὰ τοῦ α/ς πολλαπλασιαζόμενα, γίνεται ὁ τούτων πολλαπλασιασμὸς κβ/μβ. Ἐστὶ δὲ ὁ τετραγωνισμὸς τοῦ πίθου κβ/μβ μιᾶς τετραγώνου οὐργίας.

Ἔστω δὲ ὅτι ἑκάστη οὐργία τετράγωνος δέχεται μέτρα ν, ἢ ὅσα ἂν ἔχῃς εἰπεῖν. Λαβὲ κβ/μβ τῶν ν μέτρων, ταυτὸν δ' εἰπεῖν ια/κα τῶν ν μέτρων. Πολλαπλασίασον γὰρ τὰ ν μέτρα τῆς μιᾶς τετραγώνου οὐργίας μετὰ τῶν ἄνωθεν ια· ια-κις οὖν ν γίνονται φν. Μέρισον ταῦτα μετὰ τῶν κάτωθεν κα, καὶ γίνεται ὁ τούτων διαμερισμὸς κς καὶ δ/κα. Καὶ ἰδοὺ τὰ ια/κα τῶν ν μέτρων ἐστὶ μέτρα κς καὶ δ/κα (15) ἑνὸς μέτρου. Ἔχει δὲ ὁ πῖθος, μέτρα κς καὶ δ/κα ἑνὸς μέτρου, τουτέστι κς καὶ α/ε ἔγγιστα.

ευ	α
ευ α	αγδ δ/βα
ευ α	εευ
εευ	βαα
	β
	βς δ/βα

Μὴ μόνον δὲ μετὰ οὐργίων, ἀλλὰ καὶ μετὰ σπιθαμῶν ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον. Ἔστω γὰρ ἡ περίμετρος τούτου σπιθαμῶν κβ, ἡ δὲ διάμετρος σπιθαμῶν ζ. Ὃν γὰρ λόγον ἔχει τὸ α πρὸς τὰ γ καὶ α/γ, τὸν αὐτὸν ἔχοσιν καὶ τὰ ζ πρὸς τὰ κβ. Πολλαπλασίασόν δε τὴν τῶν ζ σπιθαμῶν διάμετρον εἰς ἑαυτή· ζ-κις οὖν ζ γίνονται μθ. Λαβὲ τὸ α/ς μέρος τῶν μθ ὅπερ ἐστὶ η καὶ α/θ· ς-κις γὰρ η καὶ α/θ, μθ γίνονται. Πολλαπλασίασον τὰ η καὶ α/θ μετὰ τῶν κβ σπιθαμῶν τῆς περιμέτρου· κβ-κις οὖν η καὶ α/θ γίνονται ροη καὶ δ/θ. Ἐστὶ δὲ ὁ τετραγωνισμὸς τοῦ ὅλου σώματος τοῦ πίθου, σπιθαμαὶ τετράγωναι ροη καὶ δ/θ μιᾶς σπιθαμῆς τετραγώνου.

Ἔστω δὲ ὅτι ἑκάστη σπιθαμὴ τετράγωνος (20) δέχεται ψήφους ς. Ἐπεὶ δὲ ἕκαστον μέτρον ἐστὶ ψῆφοι λς, ἕκαστον μέτρον οἰκειοῦται τετραγώνους σπιθαμὰς ς· ς-κις γὰρ ς, λς γίνονται. Μέρισόν δε τὰς ροη τετραγώνους σπιθαμὰς, μετὰ τῶν ς τετραγώνων σπιθαμῶν ὧν οἰκειοῦται ἕκαστον μέτρον, καὶ γίνεται ὁ τούτων διαμερισμὸς κθ καὶ β/γ. Δέχεταί δε ὁ πῖθος μέτρα κθ και β/γ.

εδ	δ/ς
αζη	
ςς	
βθ καὶ	β/γ

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν σφαιροειδοῦς κατὰ πάντα πίθου, κ' ἄν τε οὐργίων, κ' ἄν τε σπιθαμῶν μέρος λαμβάνης, ἐπὶ τῆς τούτου περιμέτρου τε καὶ διαμέτρου, διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως, ἔχεις εἰδέναι πόσα μέτρα δέχεται ἐντός, ὁ ζητούμενος πῖθος.

Ἕτερον ζήτημαν:

Ἔστω πῖθος τις οὐ κατὰ πάντα σφαιροειδὴς, τὸ μὲν ὕψος αὐτοῦ σπιθαμῶν ι, ἡ δὲ περὶ τὰ μέσα τούτου περίμετρος ἔστω σπιθαμῶν κβ. (25) Ἀπὸ δὲ ταύτης τῆς περιμέτρου τῶν κβ σπιθαμῶν μέχρι τοῦ χείλους ἐστὶ σπιθαμαὶ ε, ὁμοῦ δὲ τὸ ὕψος ι. Ἡ δὲ κορυφὴ τούτου καὶ ἡ βάσις ἐφ' ἧς ἵσταται, στενότεραι οὖσαι τῆς κατὰ μέσον ἐξοχῆς, ἔστω ἡ τούτων περίμετρος σπιθαμῶν ι.



αγ	βγ/ηη	β
αζθ β		βυδ
ηη η		σσ
η		γδ
βυ δ/αα		

Λαβὲ τὸ ἐξ ἀναλόγου τῆς περιμέτρου τῶν δύο ἄκρων καὶ τῆς μέσεως, τουτέστι ἕνωσον τὰς κβ σπιθαμὰς τῆς περὶ τὰ τὰ μέσα περιμέτρου, μετὰ τῶν ι σπιθαμῶν τῆς περὶ τὰ ἄκρα περιμέτρου· κβ οὖν καὶ ι ὁμοῦ γίνονται λβ. Λαβὲ τὸ ἥμισυ τῶν λβ ὅπερ ἐστὶ ις. Ἡ ἐξ ἀναλόγου δὲ περίμετρος τῶν περὶ τὰ μέσα κβ σπιθαμῶν καὶ τῶν περὶ τὰ ἄκρα ι σπιθαμῶν, ἐστὶ (30) σπιθαμαὶ ις. Πολλαπλασίασον ταύτας εἰς ἑαυτάς· ις-κις οὖν ις γίνονται σνς. Μέρισον ταῦτα μετὰ τῶν ιβ καὶ δ/ζ ὡς εἰώθαμεν τετραγωνίζειν ἐκ τῆς περιμέτρου, τὸν κύκλον καὶ γίνεται ὁ τούτων διαμερισμὸς κ καὶ δ/ια. Ἐστὶ δὲ ὁ κατὰ πλάτος τετραγωνισμὸς τοῦ πίθου, σπιθαμαὶ τετράγωναι κ καὶ δ/ια μιᾶς τετραγώνου σπιθαμῆς. Ἐπεὶ δὲ τὸ ὕψος αὐτοῦ εἴπομεν ἐστὶ σπιθαμῶν ι, πολλαπλασίασον τὸ πλάτος πρὸς τὸ ὕψος· ι-κις οὖν κ καὶ δ/ια γίνονται σγ καὶ ζ/ια, τουτέστι ἔγγιστα σδ. Ἐστὶ δὲ ὁ ὅλος τετραγωνισμὸς τοῦ καθόλου σώματος τούτου (35) σπιθαμῶν τετραγώνων σδ ἔγγιστα.

Ἐπεὶ δὲ ἕκαστον μέτρον οἰκειοῦται σπιθαμὰς τετραγώνους ς ὡς εἴπομεν, μέρισον τὰ σδ μετὰ τῶν ς καὶ γίνεται ὁ τούτων διαμερισμὸς λδ. Δέχεταί δε ὁ πῖθος μέτρα λδ.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτημαν, διὰ τῆς ὁμοίας μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

(116β)(1) σλζ´ Ἕτερον ζήτημαν τούτου ὅμοιον: Ἔστω τις ὑδροφόρος δεξαμενὴ ὕδατος πεπληρωμένη· τὸ δὲ σχῆμα ταύτης ἔστω ἄνωθεν μὲν περὶ τὸ χεῖλος κυκλοτερές, κατὰ βάθος δὲ καταλήγουσα εἰς οὐδέν· καὶ ἡ μὲν τοῦ χείλους περίμετρος ἔστω σπιθαμῶν ρπη δ/ζ μιᾶς σπιθαμῆς, ἀπὸ δὲ τοῦ χείλους μέχρι τὸ καταλῆγον εἰς οὐδὲν βάθος ἔστω σπιθαμῶν ν. Ζητεῖς δὲ εἰδέναι πόσα μέτρα ὕδωρ ἔχει ἐντός.



διάμετρος σπιθ. ξ

περίμετρος σπιθ. ρπη δ/ζ

τὸ βάθος σπιθ. μ

Ἔχεις δὲ ταῦτα εἰδέναι οὕτως: Ποίησον ἕβδομα τὰ ρπη δ/ζ· γίνονται δὲ ταῦτα, ἕβδομα ͵ατκ. Μέρισον τὰ ͵ατκ ἕβδομα πρὸς τὰ κβ ἕβδομα, ὡς εἰώθαμεν λαμβάνειν ἐκ τῆς περιμέτρου τὴν διάμετρον, καὶ γίνεται ὁ τούτων μερισμὸς ξ· ἐστὶ δὲ ἡ μὲν περίμετρος σπιθαμῶν ρπη δ/ζ, ἡ δὲ διάμετρος σπιθαμῶν ξ. Λαβὲ τὸ ἥμισυ τῆς διαμέτρου τῶν ξ σπιθαμῶν, ὅπερ ἥμισυ ἐστὶ σπιθαμαὶ λ. Πολλαπλασιασόν δε ταύτας τὰς λ σπιθαμὰς εἰς ἑαυτάς· λ-κις δὲ λ γίνονται ϡ. Πολλαπλασίασον εἰς ἑαυτὰς καὶ τὰς ν σπιθαμὰς τὰς ἀπὸ τοῦ χείλους μέχρι τὸ καταλῆγον εἰς οὐδὲν βάθος· ν-κις δὲ ν γίνονται ͵βφ. Ἄφελε τὰ ϡ ἐκ τῶν ͵βφ καὶ ἀπομένοσι ͵αχ. Ζήτει τὴν ρίζαν τῶν ͵αχ, ἥτις ἐστὶ μ· μ-κις γὰρ μ

͵αχ γίνεται. Καὶ ἰδοῦ εὗρες διὰ τοῦ κανόνος τῆς σκάδρας, ὅτι ἀπὸ τοῦ μέσου τῆς διαμέτρου τῶν ξ σπιθαμῶν μέχρι τὸ καταλῆγον εἰς οὐδὲν βάθος ἐστὶ σπιθαμῶν μ.

Ἐπεὶ δὲ ἡ περὶ τὸ χεῖλος περίμετρος ἐστὶ σπιθαμῶν ρπη καὶ δ/ζ κατὰ βάθος δὲ καταλῆγον εἰς οὐδέν, λαβὲ τὸ ἐξ ἀναλόγου τοῦ χείλους τῆς περιμέτρου τῶν ρπη καὶ δ/ζ καὶ τὸ οὐδενὸς τοῦ κατὰ βάθους, τουτέστι λαβὲ τὸ ἥμισυ τῆς περιμέτρου τῶν ρπη καὶ δ/ζ, ὅπερ ἐστὶ ϟδ καὶ δ/ιδ. Τοῦτο γὰρ ἐστὶ τὸ ἐξ ἀναλόγου, καθὼς τοῦτο καὶ ἐν τῷ σλ-ῷ κεφαλαίῳ τὸ περὶ τῆς σκηνῆς (15) εἴρηται. Ἐστὶ δὲ νῦν ἡ ἐξ ἀναλόγου περίμετρος τοῦ χείλους σπιθαμῶν ϟδ καὶ δ/ιδ μιᾶς σπιθαμῆς, ἥτις ἦν πρότερον σπιθαμῶν ρπη καὶ δ/ζ, ἡ δὲ διάμετρος ἐστὶ σπιθαμῶν λ, ἥτις ἦν πρότερον σπιθαμῶν ξ. Τετραγώνισόν δε τὰς ἐξ ἀναλόγου τῆς περιμέτρου σπιθαμάς, τουτέστι τὰς ϟδ καὶ δ/ιδ, ὡς εἰώθαμεν τετραγωνίζειν τὸν κύκλον· πολλαπλασίασον γὰρ τὴν τῶν λ σπιθαμῶν ἐξ ἀναλόγου διάμετρον εἰς ἑαυτήν· λ-κις δὲ λ γίνονται ϡ. Λαβὲ ια/ιδ τῶν ϡ, ὡς εἰώθαμεν ἐκ τῆς διαμέτρου τετραγωνίζειν τὸν κύκλον, καθὼς τοῦτο εἴρηται ἐν τῷ σα-ῳ κεφαλαίῳ. *Τὰ δὲ ια/ιδ τῶν ϡ ἐστὶ ψζ καὶ α/ζ. Πολλαπλασίασον ταύτας πρὸς τὰς κατὰ βάθος μ σπιθαμάς, ἃς εὗρες (20) διὰ τοῦ κανόνος τῆς σκάδρας· μ-κις δὲ ψζ καὶ α/ζ γίνεται ͵κ͵η καὶ σπε καὶ ε/ζ. Ἔχει δὲ ἡ ὑδροφόρος ταύτη δεξαμενὴ ὕδωρ σπιθαμῶν τετραγώνων ͵κ͵η καὶ σπε καὶ ε/ζ μιᾶς σπιθαμῆς τετραγώνου.

θ u u	βαγβ	β/ιδ
θ u u α	θθuu	
θ u u α	αδδδ	
θ θ u u	αα	
	χζ καὶ α/ζ	

* Ἀπομένει τζάκισμα ἀκέραιον α καὶ ς/ζ. Συγκρινόμενα δὲ πρὸς τὰ ς τὸν μερισθήν, γίνεται ιβ/μβ. Γίνονταί δε ὁμοῦ ͵δψιδ καὶ ιβ/μβ.

Ἐπεὶ δὲ ἕκαστον μέτρον ὑπεθέμεθα οἰκειοῦσθαι σπιθαμὰς τετραγώνους ς, ὡς καὶ ἐπὶ τῶν προγενεσθέρων εἴπομεν, μέρισον τὰς ͵κ͵η καὶ σπε καὶ ε/ζ πρὸς τὰς ς τετραγώνους σπιθαμάς, καὶ γίνεται ὁ τούτων μερισμὸς ͵δψιδ καὶ α/ς καὶ ε/ζ, ἅπερ ἦν πρότερον.

δ β α α/ς καὶ ε/ζ
βηβη ε
ς ς ς ς
δζαδ καὶ α/ς καὶ ε/ζ
δζαδ καὶ λζ/μβ

Τὰ δὲ α/ς καὶ ε/ζ ὁμοῦ γίνονται λζ/μβ. Πρόσθες ταῦτα ἐπὶ τοῦ ͵δψιδ καὶ γίνεται ὁμοῦ ͵δψιδ καὶ λζ/μβ. Ἔχει δὲ (25) αὐτὴ ἡ ὑδροφόρος δεξαμενὴ μέτρα ͵δψιδ καὶ λζ/μβ ἑνὸς μέτρου.

Ὡσαύτως καὶ πᾶν ἕτερον τούτου ὅμοιον σχῆμαν διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις τετραγωνίσαι τὸ ὅλον σῶμαν τῆς ζητουμένης ὑδροφόρου δεξαμενῆς καὶ εἰδέναι πόσα μέτρα ὕδωρ ἔχει ἐντός, ὡς καὶ ἐπὶ τῆς παρούσης ὑδροφόρου δεξαμενῆς ἐποίησας.

σλη´ Περὶ τοῦ πῶς ἐστὶ ἀποδεικτικῶς δεῖξαι ἀληθὴ ὄντα τὸν τοῦ κύκλου τετραγωνισμόν.

Εἴρηται ἐν τῷ σα-ῳ κεφαλαίῳ, πὼς ἐστὶ διὰ τριῶν μεταχειρίσεων τετραγωνῖσαι ἐμβαδὸν κύκλου καὶ εἰδέναι πόσου ἐστὶ χωρητικόν, ἐνῷ εὕραμεν συμφώνως (30) διὰ τῶν τριῶν μεταχειρίσεων εἶναι χωρητικὸν τὸ ἐμβαδὸν τὸ κατὰ περίμετρον σπιθαμῶν κβ τοῦ κύκλου, σπιθαμῶν τετραγώνων λη καὶ α/β. Πῶς γ' οὖν ἐστὶ εἰδέναι, εἰ οὕτως ἔχῃ, ὡς συμφώνως αἱ τρεῖς δεδηλώκασιν μεταχειρίσεις; Ἀποδειχθήσεταί δε εἶναι ἀληθές, διὰ τῆς παρούσης ἀποδείξεως:

Ἐν τῷ σκς-ῳ κεφαλαίῳ εἴρηται, πῶς ἐστὶ εἰδέναι πόσας ἐλάττονας πόλεις ἔχει δέξασθαι τὸ ἐμβαδὸν τῆς μείζονος πόλεως. Ἀποδέδεικτέ δε ἐκεῖσε, διὰ τῆς δηλωθείσης μεταχειρίσεως, ὅτι πᾶν ὅμοιον σχῆμαν δύο πόλεων κυκλοτερὲς πρὸς κυκλότερη, καὶ τρίγωνον πρὸς τρίγωνον, καὶ τετράγωνον πρὸς τετράγωνον, ἀναγκαίως ἀληθῶς ἡμῖν (35) ἀποδεικνύουσα τὸ ζητούμενον· μηδ’ ὁποσοῦν ἁμαρτάνουσα τῆς ἀληθείας, ἠκριβωμένως δὲ μᾶλλον δηλοῦσα, πόσας πόλεις ἐλάττονας δέξεται τὸ ἐμβαδὸν τῆς μείζονος πόλεως, φέρε λοιπὸν διὰ τῆς ἀσφαλοῦς καὶ βεβαίας μεταχειρίσεώς τε καὶ ἀποδείξεως(117α)(1) τῶν δύο πόλεων, τὴν ἀναπόδεικτον καὶ ἀμφίβολον μεταχείρισιν, τὴν τὸν κύκλον τετραγωνίζουσαν, ἀληθὴ εἶναι ἀποδείξωμεν. Τὸ γὰρ ἀμφίβολον, τῇ ἀληθείᾳ σύμφωνον εὑρεθέν, ἀληθὲς ἐστὶ μᾶλλον καὶ οὐκ ἔτι ἀμφίβολον λέγεται.

Περίμετρος κδ δ/ε. Ἐμβαδόν λη α/β



Περίμετρος κβ. Ἐμβαδὸν λη α/β. Δέξεται δύο πόλεις λ α/δ, ἀνὰ δ μιλίων ἐχούσας περίμετρον.

Ἔστω τοίνυν τις πόλις κυκλοτερής, ἥτις κατὰ περίμετρον ἐστὶ μιλίων κβ. Ἔστω δὲ καὶ ἑτέρα τις πόλις, ἥτις κατὰ περίμετρον ἐστὶ μιλίων δ, (5) καὶ τὸ μὲν ἐμβαδὸν τῆς κατὰ περίμετρον πόλεως μιλίων κβ ἐστὶ χωρητικὸν λη α/β μιλίων τετραγώνων, ὡς ἐν τῷ σα-ῳ κεφαλαίῳ διὰ τῶν τριῶν μεταχειρίσεων εὕραμεν, ἃς ὡς μὴ ἀληθεῖς πάνυ γε οὖσας, ἀμφιβάλοντες, ἀποδεῖξαι νῦν ἀληθεῖς εἶναι μᾶλλον πειρώμεθα. Τετραγώνισον τοίνυν καὶ τὸ ἐμβαδὸν τῆς κατὰ περίμετρον πόλεως, μιλίων δ· δ-κις δὲ δ γίνονται ις. Τὰ ις δέ, γίνονται ἕβδομα ριβ. Μέρισον τὰ ριβ ἕβδομα τοῦ ις πολλαπλασιασμοῦ πρὸς τὰ πη, τοῦ ιβ καὶ δ/ζ, καὶ γίνεται ὁ τούτων μερισμὸς α καὶ ς/κβ. Ἐστὶ δὲ ὁ τετραγωνισμὸς τοῦ ἐμβαδοῦ τῆς ἐχούσης πόλεως περίμετρον μίλια δ, χωρητικόν, μιλίου τετραγώνου α καὶ ς/κβ ἑνὸς τετραγώνου μιλίου.

Καὶ ἄλλως, ὡς ἐν τῷ σκς-ῳ κεφαλαίῳ εἴρηται περὶ τῶν δύο πόλεων, τουτέστι πολλαπλασίασον εἰς ἑαυτὰ τὰ κβ μίλια τῆς περιμέτρου τῆς μείζονος πόλεως.

β	α
γδ κδ/πη	δηδ δ/ις
ααβ	αςς
ηη	α
α καὶ ς/κβ	λ α/δ

Ὡσαύτως καὶ τὰ δ μίλια τῆς περιμέτρου τῆς ἐλάττονος πόλεως· κβ-κις οὖν κβ γίνονται υοδ, δ-κις δὲ δ γίνονται ις. Μέρισον τὸν υπδ πολλαπλασιασμὸν τῆς μείζονος πόλεως, πρὸς τὸν ις τῆς ἐλάττονος πόλεως, καὶ γίνεται ὁ τούτων μερισμὸς λ καὶ α/δ. Δέξεταί δε ἡ μείζων πόλις τῶν κβ μιλίων, πόλεις λ καὶ α/δ μιᾶς πόλεως ἀνὰ μιλίων δ ἔχουσαι περίμετρον. Τοῦτο δὲ ἐστὶ πάνυ γε ἀληθὲς, ὡς ἐστὶ εἰδέναι διὰ τῶν τετραγώνων, καὶ τριγώνων πόλεων.

Εἰ γ' οὖν ἀληθῶς ὁ τετραγωνισμὸς τοῦ ἐμβαδοῦ τῆς μείζονος πόλεως ἐστὶ μιλίων τετραγώνων λη α/β, ταυτὸν δ' εἰπεῖν λη ια/κβ, τῆς δὲ ἐλάττονος πόλεως, ἐστὶ μίλιον τετράγωνον α καὶ ς/κβ, ὡς διὰ τοῦ τετραγωνισμοῦ τοῦ κύκλου εὕραμεν, ἀποδεικτίσεται διὰ τῆς ἑτέρας ἀναμφιβόλου μεταχειρίσεως ἥτις δεδήλωκεν δέξασθαι τὸ ἐμβαδὸν τῆς μείζονος πόλεως, πόλεις λ καὶ α/δ μιᾶς πόλεως ἀνὰ μιλίων δ ἔχουσαι περίμετρον· λ-κις γὰρ μίλια α καὶ ς/κβ γίνονται μίλια λη καὶ δ/κβ. Λαβὲ τὸ α/δ μέρος τοῦ α μιλίου καὶ ς/κβ, ὅπερ ἐστὶ ζ/κβ· δ-κις γὰρ ζ/κβ γίνεται α καὶ ς/κβ. Ἕνωσον τὰ ζ/κβ μετὰ τῶν λη καὶ δ/κβ, καὶ γίνονται ὁμοῦ λη καὶ ια/κβ, τουτέστι λη α/β. Καὶ ἰδοὺ καὶ διὰ τοῦ τετραγωνισμοῦ τῶν λη μιλίων καὶ ια/κβ τῆς μείζονος πόλεως, καὶ τοῦ α μιλίου καὶ ς/κβ τῆς ἐλάττονος πόλεως, εὕραμεν ὅτι δέξεται ἡ μείζων πόλις, ἐλάττονας πόλεις λ καὶ α/δ, ὥσπερ καὶ διὰ τῆς ἀναμφιβόλου μεταχειρίσεως τῶν δύο πόλεων οὕτως εὕραμεν. Καὶ ἐστὶ αὐτὴ ἱκανὴ ἀπόδειξις ὅτι ὁ τετραγωνισμὸς τοῦ κύκλου ἐστὶ ἀληθής τε καὶ βέβαιος.

Ζήτει τὴν ρίζαν τῶν λη α/β ἥτις ἐστὶ ς καὶ ι/μθ βραχύ τι πλείω. Τὰ γὰρ ς καὶ ι/μθ, εἰς ἑαυτὰ τεχνικῶς πολλαπλασιαζόμενα, πολλαπλασιάζοσιν λη καὶ ααζη/βδυα, τουτέστι λη α/β ἔγγιστα. Ποίησόν δε τετράγωνον ἰσόπλευρον ὀρθογώνιον, ἑκάστη τούτου πλευρὰν μιλίων ς καὶ ι/μθ μιλίου ἑνός, τουτέστι τὴν ρίζαν τῶν λη α/β μιλίων, ὧν ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τοῦ κύκλου. Ἕνωσόν δε τὰς δ πλευρὰς· δ-κις γ' οὖν ς καὶ ι/μθ γίνονται κδ καὶ μ/μθ, τουτέστι κδ καὶ δ/ε ἔγγιστα. Τὰ δὲ κδ μίλια τῆς περιμέτρου τοῦ τετραγώνου, ἐστὶ πλείω τῆς κυκλοτεροῦς πόλεως τῆς κατὰ περίμετρον οὔσης μιλίων κβ, μίλια β καὶ δ/ε ἔγγιστα μιλίου ἑνός. Καθ' ὅσον δὲ ἐστὶ χωρητικὸν τὸ ἐμβαδὸν τῆς κυκλοτεροῦς πόλεως τῶν κβ μιλίων, τοσοῦτον ἐστὶ καὶ τὸ ἐμβαδὸν τοῦ τετραγώνου τοῦ κατὰ περίμετρον ὄντος μιλίων κδ καὶ μ/μθ. Ἕκαστον γὰρ ἐμβαδὸν τούτων, ἐστὶ χωρητικὸν λη α/β μιλίων τετραγώνων· χωρητικότερον γὰρ ὂν τὸ ἐμβαδὸν τοῦ κύκλου ἢ τοῦ τετραγώνου μείζονος περιμέτρου, δεῖ τε τὸ τετράγωνον, ἐκ τῆς περιμέτρου τοῦ κύκλου πρὸς τὸ ἰσομερὲς σῶμα δέξασθαι. Ἀρκεῖ δὲ ἡ παροῦσα ἀπόδειξις ἀληθὴς εἶναι καὶ ἱκανὴ λύσις πρὸς τὸ ζητούμενον, οὐ μὲν ἐστί· ὁ γὰρ πολλαπλασιασμὸς τῆς περιμέτρου τῆς μείζονος πόλεως ὅστις ἐστὶ υπδ, ὡσαύτως καὶ τῆς ἐλάττονος πόλεως, ὃς ἐστὶ ις, μεριζόμενος ἕκαστος αὐτῶν διὰ τοῦ δ, καὶ οὐ διὰ τοῦ ιβ καὶ δ/ζ, γίνεται ὁ μερισμὸς τουτέστι ὁ τετραγωνισμός, τῆς μὲν μείζονος πόλεως ρκα, τῆς δὲ ἐλάττονος δ, ὅστις ἦν πρότερον τῆς μὲν μείζονος λη ια/κβ, τῆς δὲ ἐλάττονος α καὶ ς/κβ· λ-κις δὲ δ γίνεται ρκ. Τὸ δὲ α/δ τοῦ δ ἐστὶ α. Ἕνωσον τοῦτο πρὸς τὸν ρκ (117β)(1) καὶ γίνεται ὁμοῦ ρκα.

Καὶ ὅτι μὲν ἡ μείζων πόλις δέξεται πόλεις λ καὶ α/δ, ἀνὰ μιλίων δ ἔχουσας περίμετρον, εὕραμεν συμφώνως, καὶ διὰ τοῦ παρόντος τετραγωνισμοῦ, τῶν ρκα μιλίων τετραγώνων τοῦ ἐμβαδοῦ τῆς μείζονος πόλεως, καὶ τῶν δ μιλίων τοῦ ἐμβαδοῦ τῆς ἐλάττονος πόλεως, ὅτι δὲ ὁ τετραγωνισμὸς τῆς μείζονος πόλεως ἐστὶ μιλίων τετραγώνων λη καὶ ια/κβ, τῆς δὲ ἐλάττονος ἐστὶ μίλιον α καὶ ς/κβ, οὐκ εὕραμεν τοῦτο συμφώνως. Ὁ μὲν γὰρ ἐστὶ λη καὶ ια/κβ, καὶ α καὶ ς/κβ, ὁ δὲ ρκα καὶ δ. Μὴ μόνον δὲ διὰ τοῦ δ-ου μερίσας τὸν υπδ καὶ τὸν ις πολλαπλασιασμὸν τῆς περιμέτρου (5) τῶν δύο πόλεων γίνεται οὕτως, ἀλλὰ καὶ μετὰ ἅπαντος ἑτέρου μερίσας, τὸν υπδ καὶ τὸν ις τῶν δύο πόλεων, οὕτως συμβήσεται. Ὁ μὲν γὰρ τετραγωνισμὸς τοῦ ἐμβαδοῦ τῶν δύο πόλεων γίνεται ἀνόμοιος, ὅτι δὲ δέξεται πόλεις λ καὶ α/δ μιᾶς πόλεως, τοῦτο εὑρίσκεται ἐπὶ παντὸς τετραγωνισμοῦ ψευδοῦς τε καὶ ἀληθοῦς συμφώνως. Δι' ὃ οὐδὲ ἀσφαλὴς καὶ βεβαία ἐστὶ ἡ ἀπορριφθεῖσα ἀπόδειξις, ὅτι ἀναγκαίως ἀπεδείκτη, ἀληθὴ εἶναι τὸν τετραγωνισμὸν τοῦ ἐμβαδοῦ τῆς κυκλοτεροῦς πόλεως μιλίων τετραγώνων λη α/β ἀναποδείκτως γὰρ γίνεται ὁ τετραγωνισμὸς τοῦ κύκλου, διὰ τῶν τριῶν μεταχειρίσεων, ὧν εἴπομεν ἐν τῷ σα-ῳ κεφαλαίῳ. Γίνεται δ'ὅμως τῆς ἀληθείας ἔγγιστα (10)γυμνασίας δὲ χάριν ἀποδεῖξαι πειρόμενοι ἀληθὴ ὄντα τὸν τοῦ κύκλου τετραγωνισμόν, εἴπομεν ὅσον εἴπομεν. Ἵνα δὲ μὴ δόξῃ ἀληθὴ οὖσα ἡ ἀπόδειξις ἣν εἴπομεν, ἀπεδείξαμεν τὴν ἀπόδειξιν, οὐκ ἀπόδειξιν ἀλλὰ γυμνάσιον μᾶλλον ἀληθείας καὶ ψεύδους. Ἀληθῶς γὰρ οὐκ ἔστι τις ἀποδεικτικὴ ἐπιστήμη, ἡ τετραγωνῖσαι τὸν κύκλον δυνάμενη.

ΒΙΒΛΙΟΓΡΑΦΙΑ

Πηγὲς

Ἀνωνύμου, Ἀριθμητική, Μαρία Χάλκου, (Διδακτορικὴ διατριβὴ μὲ θέμα: Μελέτη τοῦ Μαθηματικοῦ περιεχομένου τοῦ Βιενναίου Ἑλληνικοῦ φιλολογικοῦ κώδικα 65 τοῦ 15ου αἰ. φ. (11α- 126α), εἰσαγωγή, μεταγραφή, μαθηματικὰ σχόλια), Ἐκδοτική τοῦ Ἐθνικοῦ καὶ Καποδιστριακοῦ Πανεπιστημίου Ἀθηνῶν, Ἀθήνα 2003.

Ἀρχιμήδους Ἅπαντα, ἐκδ. Ε. Σταμάτη, ΤΕΕ, τόμ.I-III, Ἀθῆναι 1974.

L' Algèbre Al-Badî· d' Al-Karagî (MS. de la Bibliothèque Vaticane Barberini Orientale 36, 1), Trad. Anbouba Adel, Publ. de l' Université Libanaise, Beyrouth, 1964.

Collection des Anciens Alchimistes Grecs, ed. M. Berthelot, Pub. G. Steinheil, Paris 1888.

Avicenne, Le livre de Science, trad. Moh. Achena et Th. Massé, Les belles letters, 1986.

Βασιλείου Καισαρείας τοῦ Μεγάλου Ἅπαντα τὰ Ἔργα, τόμ.VII (Ὁμιλίαι καὶ Λόγοι), ἐπιμέλεια Β. Ψευτόγκα, ἐκδ. Γρηγόριος ὁ Παλαμάς, Θεσσαλονίκη 1973.

Barlaam von Seminara Logistiké, ed. P. Carelos, Ἀκαδημία Ἀθηνῶν 1966.

Διοφάντου Ἀριθμητικά, ἐκδ. Ε. Σταμάτη, ΟΕΔΒ, Ἀθῆναι 1963.

Εὐκλείδου γεωμετρία, τόμ. II (θεωρία ἀριθμῶν), ἐκδ. Ε. Σταμάτη, ΟΕΣΒ, Ἀθῆναι 1958.

Euclidis Elementa, ed. I. L. Heiberg, Teubner, Lipsiae, 1884.
Euclid: The thirteen books of the Elements. Translated with introduction and commentary by Sir Th. Heath, τόμ. II, Dover, N. York 1956.
F. G.- M., Exercices de Géomètrie, 5ème édition, μετάφρ. Δ. Γκιόκας, ἐκδ. Ἀ. Καραβία, Ἀθῆναι 1952, τόμ. III.
Heronis Alexandrini, Stereometrica et de mensuris, ed. J. Heiberg, Teubner Stutgard 1976.
H. Hunger-K. Vogel, Ein Byzantinisches Rechenbuch des 15 Jahrhunderts. 100 Aufgaben aus dem Codex Vindobonensis Phil. Gr. 65, H. Bohlaus, Koln Komm. d. ?sterr. Acad. D. Wissenschaften in Wien, 1963.
Herons von Alexandria, ed. Hermann Schöne, Leipzig, Druck und verlag von B. G. Teubner, 1903, τόμ. II.
Nicomachi Geraseni Pythagorei, Introductionis arithmeticae libri II, ed. Hoche, Teubner, Lipsiae 1866.
Πάππου Ἀλεξανδρέως, Μαθηματικὴ Συναγωγὴ, ἐκδ. Ε. Σπανδάγος, τόμ. I, Αἴθρα, Ἀθήνα 2001.
G. Pachymeris, De Michaele et Andronico Palaeologis bonne impensis ed. Weberi, Leyden Lipsie 1835.
Quadrivium de Georges Pachymère, ed. P. Tannery, Biblioteca Apostolica Vaticana, Vaticano 1940.

Ἱστορίες- Ἐγκυκλοπαίδειες- Λεξικά- Περιοδικά

Archive for History of Exact Sciences, Berlin 1965 κ. ἕ.
Ἱστορία Ἑλληνικοῦ Ἔθνους, Ἐκδοτικὴ Ἀθηνῶν, τόμ. IX.
Ἡ Ἱστορία τῆς Βυζαντινῆς Αὐτοκρατορίας, ἐκδ. «Μέλισσα», Ἀθήνα 1979, (τόμ. II, κεφ. XXVIII: K. Vogel, «Ἡ βυζαντινὴ

ἐπιστήμη»). Ἑλλ. μετάφραση τοῦ: History of the Byzantine Empire, (v. II, ch. XXVIII: K. Vogel, The Byzantine Science), Univ. of Wisconsin Press, Cambridge, 1958.

Ἀκαδημαϊκὴ Ἐγκυκλοπαίδεια, Ἀκαδημία Ἐπιστημῶν τῆς Ε.Σ.Σ.Δ, τόμ.ΙΙ (Ἀστρονομία, Μαθηματικά), ἐκδ. Γιαννίκος & Σία, Ἀθηνα 1975-76.

Dictionary of Scientific Biography, ed. Ch. Coulston Gillispie, Ch. Scribner's sons, τόμ. I-XVI, N. York 1970-1980.

Ἰ. Σταματάκου, Λεξικὸ Ἑλληνικῆς γλώσσης, τόμ. I-II, Ἀθήνα 1971.

Ἴνδικτος 7 (Χειμώνας 1997).

Νεῦσις 3 (Φθιν. 1995)· 5 (Φθιν.-Χειμ. 1996).

Σύγχρονα θέματα, 35, 36, 37 (Δεκέμβριος 1988).

Πρακτικὰ Συνεδρίων

Α΄ Συνάντηση Βυζαντινολόγων τῆς Ἑλλάδος καὶ τῆς Κύπρου, Ἰωάννινα 1999.

Β΄ Συνάντηση Βυζαντινολόγων τῆς Ἑλλάδος καὶ τῆς Κύπρου, Ἀθήνα 2000.

Γ΄ Συνάντηση Βυζαντινολόγων, Ρέθυμνο 2002.

Πανελλήνιο Συμπόσιο Ἑλλήνων χημικῶν, Ἀθήνα 1994

1ο Διεθνὲς Συνέδριο ἀρχαίας ἑλληνικῆς τεχνολογίας, Θεσσαλονίκη 1997.

Διεθνὲς Ἐπιστημονικὸ Συμπόσιο, Χαλκίδα, Μάιος 1998. Βυζάντιο καὶ Δύση, «Χρῆμα καὶ ἀγορὰ στὴν ἐποχὴ τῶν Παλαιολόγων», Ἐθνικὸ Ἵδρυμα Ἐρευνῶν, Ἰνστ. Βυζ. Ἐρευνῶν, ἐπιμέλεια Ν. Γ. Μοσχονὰς, Ἀθήνα 2003.

Ἄρθρα-Βιβλία

Λ. Ἀδαμόπουλος, Μαθηματικὰ Β΄ τάξης Ἐνιαίου Λυκείου (Θετικὴ Κατεύθυνση), ΟΕΔΒ, Ἀθήνα 1998.

Δ. Ἀναπολιτάνος, Εἰσαγωγὴ στὴν Φιλοσοφία τῶν Μαθηματικῶν,ἐκδ. Νεφέλη, Ἀθήνα 1985.

Adel Anbouba, Notes sur l' Algèbre d' Al-Hwarizmî, Publ. de l' Université Libanaise, Beyrouth, 1968.

Marshall Clagett, "Archimedes", DSB, I, 213-231.

Χ. Βαλασιάδης, Ὁδηγὸς Βυζαντινῶν Νομισμάτων, Βιβλιοθήκη τῶν Ἑλλήνων, ἐκδ. Γεωργιάδης, Ἀθήνα ^{2}1995.

Φ. Βασιλείου, Φιλοσοφία τῶν Μαθηματικῶν, ΤΕΕ, Ἀθῆναι 1971.

Ἁγνή Βασιλικοπούλου-Ἰωαννίδου, Ἡ ἀναγέννηση τῶν γραμμάτων κατὰ τὸν 12ο αἰ. εἰς τὸ Βυζάντιον καὶ ὁ Ὅμηρος (διδακτορικὴ διατριβή), Ἀθήνα 1971.

Στέλλα Βοσνιάδου, Κείμενα ἐξελικτικῆς ψυχολογίας, τόμ. ΙΙ, ἐκδ. Gutenberg, Ἀθήνα 1994.

Στέλλα Βοσνιάδου, Ἡ ψυχολογία τῶν Μαθηματικῶν, ἐκδ. Gutenberg, Ἀθήνα 1995.

S. Bowman, The Jews of Byzantium (1204-1453), L. Weinberger, 1985.

C. B. Boyer - Uta C. Merzbach, Ἡ Ἱστορία τῶν Μαθηματικῶν, ἐκδ. Ἀ. Πνευματικοῦ, Ἀθήνα 1997.

C. B. Boyer, A History of Mathematics, Princeton, UP, 1968/ 1985.

I. G. Bachmakova, "Archimedes methods of integration", Archive for History of Exact Sciences, τόμ. II, N2, σελ.87-107 (1964).

David Pingree, "Brahmagupta", DSB, II, 416-418.

Νικ. Γεωργακόπουλου, Ἡ παιδεία στὴν Ἀρκαδία ἐπὶ τουρκοκρατίας, ἐκδ. Φύλλα, Τρίπολη 2000.
Π. Γεωργούση, Παιδαγωγικὴ Ψυχολογία, ΟΕΔΒ, Ἀθήνα 1981.
Ἑλένη, Γλύκατζη-Ἀρβελὲρ, Ἡ πολιτικὴ ἰδεολογία τῆς Βυζαντινῆς Αὐτοκρατορίας, ἐκδ. Ψυχογιός, [4]1992.
Δ. Γούτα, Ἡ ἀρχαία Ἑλληνικὴ σκέψη στὸν Ἀραβικὸ πολιτισμό, ἐκδ. Περίπλους, Ἀθήνα 2001.
F. Cajori, A History of Mathematics, Chelsea, N. York 1985.
R. Calinger, A Contextual History of Mathematics to Euler, Prentice Hall, 1999.
M. Gliozzi, "Cardano, Girolamo", DSB, III, 64-67.
C. N. Constantinides, Higher Education in Byzantium in the thirteenth and early fourteenth centuries (1204-1310), Cyprus Research Center, Nicosia 1982.
M. A. Cow, A short History of Greek Mathematics, Chelsea, N. York 1968.
D. R. Dicks, Ἡ πρώιμη Ἑλληνικὴ Ἀστρονομία (μετάφραση Μ. Παπαθανασίου), ἐκδ. Δαίδαλος, Ἀθήνα 1991.
K. Vogel, "Diophantus of Alexandria", DSB, IV, 110-119.
Maria, Dzielska, Ὑπατία ἡ Ἀλεξανδρινή, μετάφρ. Γ. Κουσουνέλος, ἐκδ. Ἐνάλιος, Ἀθήνα 1997.
K. Vogel, "Leonardo Fibonacci", DSB, IV, 604-613.
G. Finlay, History of the Byzantine and Greek Empires. W. Blackwood & sons, Endiburgh and London 1854.
D. H. Fowler, The Mathematics of Plato's Academy, Oxford UP 1987.
E. Grant, Οἱ Φυσικὲς Ἐπιστῆμες τὸν Μεσαίωνα, Πανεπ. ἐκδόσεις Κρήτης, Ἡράκλειο 1994.
Th. Heath, A History of Greek Mathematics, Oxford UP, τόμ. I (1921), II (1981).

M. F. Hendy, Catalogue of the Byzantine Coins, τόμ.IV, Pt 1, ed. A. Bellinger-P. Grierson, U.S.A. 1994.
M. F. Hendy, Studies in the Byzantine monetary, Cabridge UP 1985.
A. G. Drachmann, M. S. Mahoney, "Hero of Alexandria", DSB, VI, 310-315.
J. Høyrup, Sub-Scientific Mathematics (In memoriam N. I. Bukharin 1888-1938).
H. Hunger, - I. Sevcenko, Des N. Blemmydes Βασιλικὸς Ἀνδριὰς und dessen Metaphrase von G. Calesiotes und G. Oinaiotes, Verlag der Osterreichischen Academie der Wissenschaften.
H. Hunger, Βυζαντινὴ Λογοτεχνία τόμ. I-III, ἐκδ. ΜΙΕΤ, Ἀθήνα 1994.
H. Hunger, Katalog der Griechischen Handschriften der Österreichishen National Bibliothek Teil 1 Codices Historici, Philosophici et Philologici, Georg Prachner Verlag, Wien 1961.
J. Hunter, Ἀριθμοθεωρία, μετάφρ. Ν. Κρητικοῦ, ἐκδ. Συλλόγου πρὸς διάδοσιν ὠφελίμων βιβλίων, Ἀθήνα 1974.
W. Jaeger, Early Christianity and Greek Paideia, Oxford UP, Harvard 1961.
E. Grant, "Jordanus de Nemore", DSB, VII, 171-179.
Π. Καλλιγᾶ, Μελέται Βυζαντινῆς Ἱστορίας- Περὶ φορολογικῶν διατάξεων, ἐκδ. Δημιουργία, Ἀθήνα 1997.
Σπ. Κανέλλου, Εὐκλείδειος Γεωμετρία, ΟΕΔΒ, Ἀθῆναι 1975.
Φ. Κουκουλέ, Βυζαντινῶν Βίος καὶ Πολιτισμός, τόμ. II, Ἀθήνα 1948.
O. Gingerich, "Kepler, Johannes", DSB, τόμ. VII, σελ. 289-312.
A. P. Youschkevitch, B. A. Rosenfeld, "Omar Khayyam (Al

Khayyâmî)", DSB, VII, 323-334.
E. Knobloch, Mathématiques et Philosophie de l' Antiquitè à l' âge Classique, hommage à Jules Vuillemin/ sous la direction de Roshdi Rashed, CNRS, Paris 1991.
W. R. Knorr, "Archimedes and the Measurement of the circle. A new interpretation", AHES, XV, N2 (1976), 115-140.
K. Krumbacher, Ἱστορία τῆς Βυζαντινῆς Λογοτεχνίας, ἐκδ. Β. Γρηγοριάδης, Ἀθήνα 1974.
A. Laiou, The Christian East its Institutions and its Thought. A Critical Reflection, Pontificio Istituto Orientale, Roma 1996.
J. Lefort, R. Bondoux, J-Cl. Cheynet, J.-P. Grélois, V. Kravari, Géomètries du fisc Byzantin, P. Lethielleux, Paris 1991.
P. Lemerle, Ὁ πρῶτος Βυζαντινὸς Οὑμανισμός, ἐκδ. MIET, Ἀθήνα 1985.
D. Pingree, "Leo the mathematician", DSB, VIII, 190-192.
G. Loria, Ἱστορία τῶν Μαθηματικῶν, ἐκδ. Παπαζήση, Ἀθήνα 1971.
Σ. Μενάρδος, Ἐξέλιξις καὶ προφορὰ τῆς Ἑλληνικῆς. Τέσσερα Ὀξφορδιανὰ μαθήματα, Ἀθῆναι 1972.
J. F. Mattéi, Ὁ Πυθαγόρας καὶ οἱ Πυθαγόρειοι, μετάφρ. Καψαμπέλη, ἐκδ. Μ. Καρδαμίτσα, Ἀθήνα 1995.
P. H. Michel, De Pythagore à Euclide, Les belles letters, Paris 1950.
E. Mioni, Εἰσαγωγὴ στὴν Ἑλληνικὴ Παλαιογραφία, ἐκδ. MIET, Ἀθήνα 1994.
Ν. Νικολάου, Θεωρητικὴ Ἀριθμητικὴ Πρακτικῶν Λυκείων, ἐκδ. Δ. Τζάκα- Στ. Δελαγραμμάτικα, Ἀθήνα ^{6}1954.
O. Neugebauer, Οἱ Θετικὲς ἐπιστῆμες στὴν ἀρχαιότητα, ἐκδόσεις MIET, Ἀθήνα ^{2}1990.
M. Clagett, "Oresme Nicole", DSB, X, 223-230.

N. Πολίτη, Εἰρήνευση, Ἀθήνα 1997.
G. Polya, Πῶς νὰ τὸ λύσω, μετάφρ. Ξανθὴ Ψυακκή, ἐπιμέλεια Τ. Πατρώνης, ἐκδ. Καρδαμίτσα, [3]Ἀθήνα 1998.
S. A. Jayawardene, "Luka Pacioli", DSB, X, 269-272.
T. T. Rice, Ὁ Δημόσιος καὶ Ἰδιωτικὸς βίος τῶν Βυζαντινῶν, ἐκδ. Παπαδήμα, Ἀθήνα 1990.
T. T. Rice, Ὁ Δημόσιος καὶ Ἰδιωτικὸς βίος τῶν Βυζαντινῶν, ἐκδ. Παπαδήμα, Ἀθήνα 2000.
P. L. Rose, The Italian Renaissance of Mathematics, Librairie Droz, Genève 1975.
S. Runciman, Byzantine Civilisation, E. Arnold, 1936/Methuen, London 1975.
E. Σταμάτη, Ἑλληνικὰ Μαθηματικά, ἐκδ. Ἑταιρείας τῶν φίλων τοῦ λαοῦ, Ἀθήνα [2]1979.
E. Σταμάτη, Κριτικὴ Βυζαντινοῦ βιβλίου Ἀριθμητικῆς H. Hunger und Kurt Vogel (Ein byzantinisches Rechenbuch des 15. Jahrhunderts), ἐκδ. Σίδερη, Ἀθήνα 1965.
J. Sabatier, Monnaies Byzantines, Rollin et Feuardent, Paris 1862.
G. Sarton, A History of Science, Oxford UP, London 1953.
E. Schilbach, Byzantinische Metrologie, C. H. Beck, München, 1970.
J. Sesiano, The appearance of Negative Solutions in Mediaeval Mathematics, History of Exact Scienses 32, no 2 (4. IV. 1985) 105-149.
D. E. Smith, History of Mathematics, τόμ. I-II, Dover, New York 1958.
D. J. Struik, A concise History of Mathematics, Dover, New York [2]1948.
P. Sugar, Ἡ νοτιοανατολικὴ Εὐρώπη κάτω ἀπὸ Ὀθωμανικὴ

κυριαρχία (1354-1804), τόμ. I, ἐκδ. Σμιλή, Ἀθήνα 1994.
Δ. Τσιμπουράκη, Ἡ γεωμετρία καὶ οἱ ἐργάτες της στὴν ἀρχαία Ἑλλάδα, ἐκδ. Alien, Ἀθήνα 1997.
Ν. Τωμαδάκη, Κλεὶς τῆς Βυζαντινῆς Φιλολογίας, ἐκδ. Πουρνάρα, Θεσσαλονίκη 1963.
Ν. Τωμαδάκη, Βυζαντινὴ Ἐπιστολογραφία, ἐκδ. Μυρτίδη, Ἀθήνα 1969.
P. Tannery, Pour l' histoire de la science Hellène, Félix Alcan, Paris 1887.
A. Masotti, "Niccolo Tartaglia", DSB, XIII, 258-262.
V. M. Tikhomirov, Ἱστορίες γιὰ μέγιστα καὶ ἐλάχιστα, μετάφρ. Κ. Γαβράς- Γ. Κατσιλιέρης, ἐκδ. Κάτοπτρο, Ἀθήνα 1999.
W. Treadgold, A History of the Byzantine State and Society, Stanford UP.
B. L. Van der Waerden, A History of Algebra, Springer Verlag, Berlin 1985.
B. L. Van der Waerden, Ἡ ἀφύπνιση τῆς Ἐπιστήμης, Πανεπ. ἐκδόσεις Κρήτης, Ἡράκλειο 2000.
B. L. Van der Waerden, Geometry and Algebra in Ancient Civilisations. Springer, Berlin 1983.
M. Vegetti, Ἱστορία τῆς Ἀρχαίας Φιλοσοφίας, ἐκδ. Τραυλός, Ἀθήνα 2003.
J. H. Vincent, À la Géomètrie Pratique des Grecs. Extrait des notices des Manuscrits, τόμ. XIX pt. 2, Imr. Impériale, Paris 1858.
Μαρία Χάλκου, Τὰ Μαθηματικὰ στὸ Βυζάντιο, Λογιστική, ἐκδ. Ἐπικαιρότητα, Ἀθήνα 2006.
Κ. Σ. Χασάπη, Ὁ Ἀστὴρ τῆς Βηθλεέμ, ἐκδ. Ἀ. Καραβία, Ἀθῆναι 1970.
Γ. Χριστιανίδη, Μάθημα Ἱστορίας τῆς Ἀρχαίας καὶ Με-

σαιωνικῆς Ἐπιστήμης, ἐκδ. Πανεπ. Ἀθηνῶν, Ἀθήνα 1997.
D. A. Zakythinos, Crise Monètaire et Crise Économique à Byzance du XIII au XV siècle, L Hellenisme contemporain, Athènes 1948.
H. G. Zeuthen, Die Lehre von den Kegelschnitten im Altertum, Ed. Fischer-Benzon, Kopenhagen 1886, reprogr. G. Olms, Hildesheim 1996.

ΠΕΡΙΕΧΟΜΕΝΑ

Η Μαρία Χάλκου γεννήθηκε στὸν Πειραιά το 1952. Αφού ολοκλήρωσε τις σπουδές της στα Μαθηματικά (1977) στο Εθνικό και Καποδιστριακό Πανεπιστήμιο Αθηνών, εργάστηκε ως καθηγήτρια Μαθηματικών σε φροντιστήριο δευτεροβάθμιας εκπαίδευσης (1976-1980) και από το 1981 είναι μόνιμη εκπαιδευτικός σε δημόσιο λύκειο του Πειραιά. Είναι κάτοχος Μ.Δ.Ε. στη Διδακτική και Μεθοδολογία των Μαθηματικών του Μαθηματικού τμήματος του Πανεπιστημίου Αθηνών (1997) και αριστούχος διδάκτωρ Μαθηματικών του ιδίου τμήματος (2004) με τριετή μετεκπαίδευση στην Παλαιογραφία στο Μ.Ι.Ε.Τ. Διετέλεσε μέλος της συγγραφικής ομάδας Μαθηματικών του Κ.Ε.Ε. του ΥΠ.Ε.Π.Θ. η οποία ασχολήθηκε με τη συγγραφή των 8 σχολικών βιβλίων αξιολόγησης των μαθητών του λυκείου στα Μαθηματικά, καθώς και εισηγήτρια επιμόρφωσης εκπαιδευτικών στα Π.Ε.Κ. (1998-2000). Συμμετείχε σε ερευνητικές ομάδες του Ο.Ο.Σ.Α. του ΥΠ.Ε.Π.Θ. για τον «προσδιορισμό των συνθηκών μάθησης στα σχολεία» (2000), και στο διεθνές πρόγραμμα PISA για τον «προσδιορισμό του γνωστικού επιπέδου μαθητών στα μαθηματικά και τη φυσική» (2000). Διατέλεσε μέλος Οργανωτικής Επιτροπής του Συνεδρίου για την «αξιολόγηση σχολικής μονάδας» που διοργάνωσε το Κ.Ε.Ε. σε συνεργασία με το Βρετανικό Συμβούλιο (2000). Συμμετείχε με ανακοινώσεις σε συνέδρια της Ελληνικής Μαθηματικής Εταιρείας, της Φιλοσοφικής Σχολής του Πανεπιστημίου Αθηνών, Θεσσαλονίκης, Κρήτης, του Ιονίου Πανεπιστημίου, του Κ.Ε.Ε. του ΥΠΕΠΘ, στο Διεθνές Συνέδριο Μαθηματικών «MASSEE» στο Μπόροβετς (2003), και στο Διεθνές Συνέδριο «SEEDI» στην Οχρίδα (2005). Άρθρα της έχουν δημοσιευθεί σε ξένα επιστημονικά περιοδικά, και σε επιστημονικά περιοδικά της Ελληνικής Μαθηματικής Εταιρείας και της Φιλοσοφικής Σχολής του Πανεπιστημίου Αθηνών.